Ἀλλ' ἐπειδὴ πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς ἐπὶ τοὺς ὅρκους, ἥσπερ εἰσὶν αἱ νῦν εὔθυναι, οὔτε μικρὸν οὔτε μέγα, οὐδ' ὁτιοῦν εὑρημένοι τῶν ὅτε τὴν εἰρήνην ἐποιεῖσθε λεχθέντων καὶ προσδοκηθέντων, ἀλλὰ πάντ' ἐξηπατημένοι, καὶ τούτων ἕτερ' αὖθις αὖ πεπραχότων, καὶ παρὰ τὸ ψήφισμα πεπρεσβευκότων, προσῆμεν τῇ βουλῇ. Καὶ ταυτὶ πολλοὶ συνίσασιν, ἃ μέλλω λέγειν· τὸ γὰρ βουλευτήριον μεστὸν ἦν ἰδιωτῶν. Παρελθὼν δ' ἐγὼ πάντα τἀληθῆ πρὸς τὴν βουλὴν ἀπήγγειλα, καὶ κατηγόρησα τούτων, καὶ ἀνηριθμησάμην ἀπὸ τῶν πρώτων ἐλπίδων ἐκείνων ὧν ὁ Κτησιφῶν καὶ ὁ Ἀριστόδημος ἀπήγγειλαν πρὸς ὑμᾶς, καὶ μετὰ ταῦθ', ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, ἃ οὗτος ἐδημηγόρησε, καὶ εἰς ἃ προήχασι τὴν πόλιν, καὶ περὶ τῶν ὑπολοίπων (ταῦτα

Revenus de Macédoine, où nous n'avions trouvé réalisée aucune des promesses qu'on vous avait faites lorsque vous vous occupiez de la paix, trompés sur tous les points, ayant vu plusieurs de nos collègues, engagés dans de nouvelles perfidies, insulter à vos instructions, nous nous rendîmes au Conseil. Beaucoup d'entre vous savent très-bien ce que je vais dire, car la salle était pleine. Je m'avançai, j'exposai la vérité tout entière; j'accusai les coupables, j'énumérai d'abord ces brillantes espérances que Ctésiphon et Aristodème vous avaient apportées les premiers, puis les conseils d'Eschine au peuple pendant les négociations de la paix, et les fautes dans lesquelles on avait jeté

Athènes; j'exhortai à ne pas abandonner le reste, c'est-à-dire la Pho-

Ἀλλὰ ἐπειδὴ ἤκομεν
πάλιν
ἐκ ταύτης τῆς πρεσβείας,
τῆς ἐπὶ τοὺς ὅρκους,
ἥςπερ αἱ εὔθυναι
εἰσὶ νῦν,
εὑρημένοι οὔτε μικρὸν οὔτε μέγα,
οὐδὲ ὁτιοῦν τῶν λεχθέντων
καὶ προςδοκηθέντων
ὅτε ἐποιεῖσθε τὴν εἰρήνην,
ἀλλὰ ἐξηπατημένοι πάντα,
καὶ τούτων
πεπραχότων
αὖθις αὖ
ἕτερα,
καὶ πεπρεσβευκότων
παρὰ τὸ ψήφισμα,
προςῆμεν τῇ βουλῇ.
Καὶ πολλοὶ συνίσασι
ταυτί, ἃ μέλλω λέγειν·
τὸ γὰρ βουλευτήριον
ἦν μεστὸν ἰδιωτῶν.
Ἐγὼ δὲ παρελθὼν
ἀπήγγειλα πάντα τὰ ἀληθῆ
πρὸς τὴν βουλήν,
καὶ κατηγόρησα τούτων,
καὶ ἀνηριθμησάμην
ἀπὸ ἐκείνων ἐλπίδων
τῶν πρώτων,
ὧν ὁ Κτησιφῶν
καὶ ὁ Ἀριστόδημος
ἀπήγγειλαν πρὸς ὑμᾶς,
καὶ μετὰ ταῦτα,
ὅτε ἐποιεῖσθε
τὴν εἰρήνην,
ἃ οὗτος
ἐδημηγόρησε,
καὶ εἰς ἃ
προήχασι τὴν πόλιν,
καὶ περὶ τῶν ὑπολοίπων,

Mais lorsque nous revînmes
pour-la-seconde-fois
de cette ambassade,
celle concernant les serments,
dont la reddition-de-compte
est (a lieu) aujourd'hui, [grande,
n'ayant trouvé *réalisée* ni petite ni
ni aucune des choses dites [comptiez)
et attendues (sur lesquelles vous
quand vous faisiez la paix,
mais ayant été trompés en tout,
et ces *gens-ci* (Eschine et ses com-
ayant fait [plices)
encore de-nouveau
d'autres *prévarications*,
et s'étant acquittés-de-l'ambassade
d'une-manière-contraire au décret,
nous allâmes au Conseil.
Et beaucoup connaissent-intimement
ce que je vais dire :
car le local-du-Conseil
était rempli de simples-particuliers.
Pour moi, m'étant approché,
je fis-le-rapport de toutes les choses
au Conseil, [vraies
et j'accusai ces *députés*,
et j'énumérai *leurs prévarications*
depuis ces-fameuses espérances (pro-
les premières, [messes)
que Ctésiphon
et Aristodème
rapportèrent à vous,
et après cela,
lorsque vous faisiez
la paix, *j'énumérais*
les discours que cet *homme*
adressa-au-peuple,
et *les dangers* dans lesquels
ils ont poussé la cité,
et, relativement au reste,

δ' ἦν **Φ**ωκεῖς καὶ **Π**ύλαι) μὴ προέσθαι συνεβούλευον, μηδὲ ταὐτὰ παθεῖν, μηδ' ἀναρτωμένους ἐλπίσιν ἐξ ἐλπίδων καὶ ὑποσχέσεσιν, εἰς τοὔσχατον ἐλθεῖν τὰ πράγματ' ἐᾶσαι. **Κ**αὶ ἔπεισα ταῦτα τὴν βουλήν. **Ἐ**πειδὴ δ' ἦκεν ἡ ἐκκλησία, καὶ πρὸς ὑμᾶς ἔδει λέγειν, παρελθὼν **Α**ἰσχίνης οὑτοσὶ πρῶτος ἡμῶν ἁπάντων (καὶ πρὸς Διὸς καὶ θεῶν, πειρᾶσθε συνδιαμνημονεύειν ἂν ἀληθῆ λέγω· τὰ γὰρ πάντα τὰ πράγματα λυμηνάμενα ὑμῶν καὶ διαφθείραντα ὅλως ταῦτ' ἐστὶν ἤδη) τοῦ μὲν ἀπαγγέλλειν τι τῶν πεπρεσβευμένων, ἢ περὶ τῶν ἐν τῇ βουλῇ ῥηθέντων, εἰ ἄρ' ἠμφισβήτει μὴ ἀληθῆ λέγειν ἐμέ, μνησθῆναι πάμπληθες ἀπέσχεν. **Ε**ἶπε δὲ τοιούτους λόγους, καὶ τηλικαῦτα καὶ τοσαῦτ' ἔχοντας ἀγαθά,

cide et les Thermopyles; à ne plus nous laisser jouer, à ne point souffrir qu'on nous précipitât de promesse en promesse, d'illusion en illusion, au fond d'un abîme. Je dis, et le Conseil me crut. Mais, lorsque le peuple fut assemblé, lorsqu'il fallut parler devant vous, Eschine s'avançant et prévenant tous ses collègues (par Jupiter et par tous les dieux! recueillez tous vos souvenirs, et demandez-leur si je dis vrai; car dès lors tous vos intérêts reçurent une atteinte mortelle), bien loin de dire un mot de l'ambassade, de rappeler mes dénonciations devant le Conseil, d'en contester la vérité, Eschine prononça une harangue si artificieuse, si remplie de l'annonce d'immenses avantages, qu'il vous entraîna tous comme une proie. Il revenait,

ταῦτα δὲ ἦν Φωκεῖς
καὶ Πύλαι,
συνεβούλευον μὴ προέσθαι,
μηδὲ παθεῖν
τὰ αὐτά,
μηδὲ ἀναρτωμένους
ἐξ ἐλπίδων ἐλπίσιν
καὶ ὑποσχέσεσιν,
ἐᾶσαι τὰ πράγματα
ἐλθεῖν εἰς τὸ ἔσχατον.
Καὶ ἔπεισα ταῦτα τὴν βουλήν.
Ἐπειδὴ δὲ ἡ ἐκκλησία
ἦκε,
καὶ ἔδει λέγειν πρὸς ὑμᾶς,
Αἰσχίνης οὑτοσὶ
παρελθὼν
πρῶτος ἡμῶν ἁπάντων
(καὶ πρὸς Διὸς καὶ θεῶν,
πειρᾶσθε
συνδιαμνημονεύειν
ἂν λέγω ἀληθῆ·
ταῦτα γὰρ ἐστὶν ἤδη
τὰ λυμηνάμενα
καὶ διαφθείραντα ὅλως
πάντα τὰ πράγματα ὑμῶν)
ἀπέσχε μὲν
πάμπληθες
τοῦ ἀπαγγέλλειν τι
τῶν
πεπρεσβευμένων,
ἢ μνησθῆναι
περὶ τῶν ῥηθέντων
ἐν τῇ βουλῇ,
εἰ ἄρα
ἠμφισβήτει
ἐμὲ μὴ λέγειν ἀληθῆ.
Εἶπε δὲ λόγους τοιούτους
καὶ ἔχοντας ἀγαθὰ
τηλικαῦτα καὶ τοσαῦτα,
ὥστε ὤχετο

c'était (à savoir) les Phocidiens
et les Thermopyles,
je conseillai de ne pas *les* abandonner,
et de ne pas éprouver
les mêmes *déceptions*,
ni *que*, suspendus,
d'espérances en espérances
et *de promesses* en promesses,
laisser (vous ne laissiez) les affaires
en venir à la dernière *extrémité*.
Et je persuadai ces choses au Conseil.
Mais lorsque l'assemblée-du-peuple
vint (eut lieu),
et *qu'*il fallut parler devant vous,
Eschine ici-présent
s'étant approché *de la tribune*
le premier de nous tous
(et, au-nom-de Jupiter et des dieux,
essayez
de vous-rappeler-tous-ensemble
si je dis la vérité :
car ces *faits* sont dès-lors
ayant ruiné
et ayant détruit complétement
toutes les affaires de vous)
Eschine s'abstint d'une-part
tout-à-fait
du (de) faire-le-rapport de quelque
des *opérations*
faites-dans-l'ambassade,
ou de faire-mention
concernant les choses dites
dans le Conseil,
si par-hasard
il soutenait-contradictoirement
moi ne point dire la vérité.
Il dit d'autre-part des discours tels
et contenant des avantages
si grands et si-nombreux,
qu'il se retira

ὥςθ' ἅπαντας ὑμᾶς λαβὼν ᾤχετο· ἔφη γὰρ ἥκειν πεπεικὼς Φίλιππον ἅπανθ' ὅσα συμφέρει τῇ πόλει, καὶ περὶ τῶν ἐν Ἀμφικτύοσι[1], καὶ περὶ τῶν ἄλλων ἁπάντων. Καὶ διεξῆλθε λόγον μακρὸν ὑμῖν, ὃν κατὰ Θηβαίων εἰπεῖν πρὸς Φίλιππον ἔφη. Καὶ τὰ κεφάλαι' ἀπήγγειλε πρὸς ὑμᾶς, καὶ ἀπελογίζετ' ἐκ τῶν αὑτῷ πεπρεσβευμένων, δυοῖν ἢ τριῶν ἡμερῶν ὑμᾶς, μένοντας οἴκοι, καὶ οὐ στρατευομένους οὐδ' ἐνοχλουμένους, Θήβας μὲν πολιορκουμένας, αὐτὰς καθ' αὑτάς, χωρὶς τῆς ἄλλης Βοιωτίας, ἀκούσεσθαι· Θεσπιὰς δὲ καὶ Πλαταιὰς οἰκιζομένας· τῷ θεῷ δὲ τὰ χρήματ' εἰσπραττόμενα, οὐ παρὰ Φωκέων, ἀλλὰ παρὰ Θηβαίων, τῶν βουλευσάντων τὴν κατάληψιν τοῦ ἱεροῦ[2]. Διδάσκειν γὰρ αὐτὸς ἔφη τὸν Φίλιππον, ὅτι οὐδὲν ἧττον ἠσεβήκασιν οἱ βεβου-

disait-il, après avoir gagné Philippe à la cause d'Athènes et sur l'article des Amphictyons, et sur tous les autres; il vous récitait de longues tirades du long discours par lequel il avait, à l'entendre, animé ce prince contre le Thébains; il l'analysait devant vous; il calculait que, grâce à ses négociations, dans deux ou trois jours, sans déplacement, sans armement, sans embarras, vous alliez apprendre le siége de Thèbes, mais de Thèbes seule dans la Béotie, le rétablissement de Thespies et de Platée, la restitution forcée du trésor d Apollon, non par les Phocidiens, mais par les Thébains, qui avaient projeté l'invasion du temple : car il avait, disait-il encore, démontré à Philippe que méditer ce crime était un aussi grand sacrilége que le

λαβὼν ὑμᾶς ἅπαντας·	ayant (après avoir) pris vous tous :
ἔφη γὰρ ἥκειν	il dit, en effet, revenir (qu'il revenait)
πεπεικὼς Φίλιππον	ayant engagé Philippe
ἅπαντα	à toutes les choses
ὅσα συμφέρει τῇ πόλει,	qui importent à la République,
καὶ περὶ τῶν	et concernant les *affaires*
ἐν Ἀμφικτύοσι,	chez les Amphictyons,
καὶ περὶ	et concernant
ἁπάντων τῶν ἄλλων.	toutes les autres *affaires*.
Καὶ διεξῆλθεν ὑμῖν	Et il cita-en-détail à vous
λόγον μακρόν,	la harangue longue,
ὃν ἔφη εἰπεῖν	qu'il dit avoir prononcée
πρὸς Φίλιππον κατὰ Θηβαίων.	devant Philippe contre les Thébains.
Καὶ ἀπήγγειλε	Et il *en* rapportait
τὰ κεφάλαια	les points-sommaires
πρὸς ὑμᾶς,	devant vous,
καὶ ἀπελογίζετο,	et il calculait,
ἐκ τῶν πεπρεσβευμένων αὐτῷ,	d'après la mission-accomplie par lui,
δυοῖν ἢ τριῶν ἡμερῶν	*que*, dans deux ou trois jours,
ὑμᾶς, μένοντας οἴκοι,	vous, restant à la maison,
καὶ οὐ στρατευομένους	et ne tenant-pas-la-campagne
οὐδὲ ἐνοχλουμένους,	et n'étant pas importunés,
ἀκούσεσθαι	devoir apprendre (vous apprendriez)
Θήβας μὲν	d'une part Thèbes
πολιορκουμένας,	assiégée,
αὐτὰς κατὰ αὑτάς,	elle pour elle-même (pour son propre compte),
χωρὶς τῆς ἄλλης Βοιωτίας·	en dehors du reste de la Béotie ;
Θεσπιὰς δὲ καὶ Πλαταιὰς	d'autre part Thespies et Platée
οἰκιζομένας·	rebâties :
τὰ δὲ χρήματα	et les richesses *du temple de Delphes*
εἰσπραττόμενα τῷ θεῷ,	restituées-de-force au dieu,
οὐ παρὰ Φωκέων,	non par les Phocidiens,
ἀλλὰ παρὰ Θηβαίων,	mais par les Thébains,
τῶν βουλευσάντων	qui avaient conseillé
τὴν κατάληψιν τοῦ ἱεροῦ.	le pillage du temple.
Ἔφη γὰρ αὐτὸς	Car il dit *que* lui-même
διδάσκειν τὸν Φίλιππον,	démontrer (démontrait) à Philippe
ὅτι οἱ βεβουλευκότες	que ceux qui avaient projeté
ἠσεβήκασιν	avaient commis-un-sacrilége
οὐδὲν ἧττον	en rien moins

λευκότες τῶν ταῖς χερσὶ πραξάντων, καὶ διὰ τοῦτο χρήμαθ' ἑαυτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. Ἀκούειν δὲ καὶ τῶν Εὐβοέων ἐνίων ἔφη πεφοβημένων καὶ τεταραγμένων τὴν πρὸς τὴν πόλιν οἰκειότητα Φιλίππῳ γεγενημένην· καὶ λεγόντων[1], ὅτι οὐ λελήθαθ' ἡμᾶς, ὦ ἄνδρες πρέσβεις, ἐφ' οἷς πεποίησθε τὴν εἰρήνην πρὸς Φίλιππον· οὐδ' ἀγνοοῦμεν, ὅτι ὑμεῖς μὲν Ἀμφίπολιν δεδώκατ' ἐκείνῳ, Φίλιππος δ' ὑμῖν Εὔβοιαν ὡμολόγηκε παραδώσειν. Εἶναι μέντοι τι καὶ ἄλλο διῳκημένον αὐτῷ· οὐ μήν πω τοῦτο βούλεσθαι λέγειν· καὶ γὰρ νῦν φθονεῖν τινὰς αὐτῷ τῶν συμπρέσβεων. Ὑπηνίττετο δ' οὕτω καὶ παρεδήλου τὸν Ὠρωπόν[2].

Εὐδοκιμῶν δ' ἐπὶ τούτοις εἰκότως, καὶ δοκῶν καὶ ῥήτωρ

consommer; pour ce propos, Thèbes avait mis sa tête à prix, et quelques Eubéens avaient exprimé devant lui leurs vives alarmes sur l'intimité qui venait de se former entre le prince et la République. « Députés, avaient-ils dit, vous ne pouvez nous cacher les conditions de votre paix avec Philippe, nous n'ignorons pas que, si vous lui avez cédé Amphipolis, il s'est engagé à vous livrer l'Eubée. » « Enfin, ajouta Eschine, j'ai réglé un autre objet; mais je ne veux pas encore en parler, à cause de l'envie que me portent à présent plusieurs de mes collègues : » discrète allusion à la ville d'Oropos.

Couvert d'éloges faciles à comprendre, jugé, pour ce rapport, un

τῶν πραξάντων
ταῖς χερσί, καὶ
διὰ τοῦτο τοὺς Θηβαίους
ἐπικεκηρυχέναι
χρήματα
ἑαυτῷ.
Ἔφη δὲ ἀκούειν
καὶ ἐνίων
τῶν Εὐβοέων
πεφοβημένων καὶ τεταραγμένων
οἰκειότητα τὴν γεγενημένην
Φιλίππῳ πρὸς τὴν πόλιν·
καὶ λεγόντων, ὅτι,
ὦ ἄνδρες πρέσβεις,
οὐ λελήθατε ἡμᾶς
ἐπὶ οἷς
πεποίησθε τὴν εἰρήνην
πρὸς Φίλιππον·
οὐδὲ ἀγνοοῦμεν
ὅτι ὑμεῖς μὲν
δεδώκατε
ἐκείνῳ Ἀμφίπολιν,
Φίλιππος δὲ
ὡμολόγηκε
παραδώσειν ὑμῖν Εὔβοιαν.
Εἶναι μέντοι
καὶ ἄλλο τι
διωκημένον αὐτῷ
οὐ μήν πω βούλεσθαι
λέγειν τοῦτο·
καὶ γὰρ νῦν
τινὰς
τῶν συμπρέσβεων
φθονεῖν αὐτῷ.
Ὑπηνίττετο δὲ οὕτω
τὸν Ὠρωπόν,
καὶ παρεδήλου.
Εὐδοκιμῶν δὲ εἰκότως
ἐπὶ τούτοις,
καὶ δοκῶν εἶναι

que ceux qui avaient exécuté
de leurs mains, et *il ajouta que*
à cause de cela, les Thébains [raut
avoir (avaient) fait-annoncer-par-hé-
des richesses (une récompense)
contre lui-même (à son meurtrier).
Il dit encore entendre (qu'il enten-
même quelques-uns [dait)
des Eubéens
effrayés et troublés
de l'intimité établie
à Philippe avec la République ;
et disant que (et disant),
ô hommes députés,
vous n'avez-pu-cacher à nous
à quelles *conditions*
vous avez fait la paix
avec Philippe ;
et nous n'ignorons pas
que vous d'un côté
vous avez donné
à ce *prince* Amphipolis,
et que, d'un-autre-côté, Philippe
est convenu
de devoir livrer à vous l'Eubée.
*Il ajouta qu'*il existait
encore quelque autre *disposition*
réglée par lui-même ;
que cependant il ne voulait pas encore
dire cela ;
*qu'*en effet maintenant
quelques-uns
de ses collègues-d'ambassade
portaient-envie à lui-même.
Or il faisait-allusion ainsi
à Oropos,
et donnait-à-entendre *cette ville*.
Or, glorifié avec-vraisemblance
pour ces choses,
et passant-pour être

ἄριστος εἶναι καὶ ἀνὴρ θαυμαστός, κατέβη μάλα σεμνῶς. Ἀναστὰς δ' εὐθὺς ἐγὼ ταῦτά τ' οὐκ ἔφην εἰδέναι, καὶ ἐπειρώμην τι λέγειν τούτων ὧν εἰς τὴν βουλὴν ἀπήγγειλα. Καὶ παραστάς, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν, οὑτοσὶ καὶ Φιλοκράτης, ἐβόων, ἐξέκρουόν με, τελευτῶντες ἐχλεύαζον. Ὑμεῖς δ' ἐγελᾶτε, καὶ οὐτ' ἀκούειν ἠθέλετε, οὔτε πιστεύειν ἠβούλεσθ' ἄλλα, πλὴν ἃ οὗτος ἀπηγγέλκει. Καὶ νὴ τοὺς θεούς, εἰκός τι παθεῖν ἔμοιγε δοκεῖτε· τίς γὰρ ἂν ἠνέσχετο, τηλικαῦτα καὶ τοσαῦτ' ἔσεσθαι προσδοκῶν ἀγαθά, ἢ ταῦθ' ὡς οὐκ ἔσται λέγοντός τινος, ἢ κατηγοροῦντος τῶν πεπραγμένων τούτοις; πάντα γὰρ τἄλλ', οἶμαι, τότε δεύτερ' ἦν τῶν ὑποκειμένων προσδοκιῶν καὶ τῶν ἐλπίδων· οἱ δ' ἀντιλέγον-

orateur tout-puissant, un homme d'État prodigieux, il descend de la tribune avec majesté. J'y monte après lui, je proteste de mon ignorance sur ces faits, je m'efforce d'exposer une partie du rapport que j'avais présenté au conseil. Postés près de moi, l'un à droite, l'autre à gauche, Philocrate et lui criaient, me coupaient la parole, m'accablaient de sarcasmes. Et vous, de rire, de refuser de m'entendre, ne voulant croire que le rapport d'Eschine. Disposition bien naturelle, par les dieux! Qui de vous, en effet, alléché par de si belles espérances, n'eût repoussé l'orateur qui vous disait : *Cela ne sera pas*, et attaquait la conduite des prometteurs? Tout le reste alors n'était rien, sans doute, au prix de ce bonheur en expectative qu'on étalait

καὶ ῥήτωρ ἄριστος
καὶ ἀνὴρ θαυμαστός,
κατέβη
μάλα σεμνῶς.
Ἐγὼ δὲ ἀναστὰς εὐθὺς
ἔφην τε οὐκ εἰδέναι ταῦτα,
καὶ ἐπειρώμην λέγειν
τι τούτων
ὧν ἀπήγγειλα εἰς τὴν βουλήν.
Καὶ οὗτοσὶ καὶ Φιλοκράτης
παραστάς,
ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν,
ἐβόων,
ἐξέκρουόν με,
τελευτῶντες
ἐχλεύαζον.
Ὑμεῖς δὲ ἐγελᾶτε,
καὶ οὔτε ἠθέλετε ἀκούειν,
οὔτε ἠβούλεσθε
πιστεύειν ἄλλα,
πλὴν ἃ οὗτος
ἀπηγγέλκει.
Καὶ νὴ τοὺς θεούς,
δοκεῖτε ἔμοιγε
παθεῖν
τι εἰκός·
τίς γάρ,
προσδοκῶν ἀγαθὰ
τηλικαῦτα καὶ τοσαῦτα
ἔσεσθαι,
ἂν ἠνέσχετό τινος ἢ λέγοντος
ὡς ταῦτα οὐκ ἔσται,
ἢ κατηγοροῦντος
τῶν πεπραγμένων τούτοις;
πάντα γὰρ τὰ ἄλλα,
οἶμαι,
ἦν τότε δεύτερα
τῶν προσδοκιῶν
καὶ τῶν ἐλπίδων
ὑποκειμένων·

et orateur excellent
et personnage admirable,
il descendit *de la tribune*
très-gravement.
Pour moi, *m'*étant levé aussitôt,
et j'affirmai ne pas connaître cela,
et je m'efforçai de dire
quelqu'un de ces *faits*
que j'avais rapportés au Conseil.
Et cet *homme* et Philocrate
se-tenant-à-côté *de moi*,
l'un deci, l'autre delà,
beuglaient,
coupaient-la-parole à moi,
finissant (et finalement)
*m'*accablaient-de-sarcasmes.
Pour vous, vous riiez,
et vous ne vouliez pas écouter,
et vous ne consentiez point
à croire d'autres choses,
hormis *ce* que cet *homme*
avait rapporté.
Et, par les dieux!
vous semblez à moi du moins
avoir éprouvé *alors*
quelque *impression* naturelle :
qui, en effet,
espérant *que* des avantages
si-considérables et si-nombreux
devoir être (se réaliseront),
aurait supporté quelqu'un ou disant
que ces *avantages* ne seront pas,
ou dénonçant [tés) ?
les *actes* faits par ceux-ci (les dépu-
car tout le reste,
je *le* crois (à ce qu'il me semble),
était alors second (devait passer
les promesses [après)
et les espérances
présentées *au peuple* ;

τες ὄχλος ἄλλως καὶ βασκανία κατεφαίνοντο[1]· ταῦτα δὲ θαυμάσι' ἦλίκα καὶ συμφέροντ' ἐδόκει πεπρᾶχθαι τῇ πόλει.

Τοῦ χάριν δὴ ταῦθ' ὑπέμνησα πρῶτα νῦν ὑμᾶς, καὶ διεξῆλθον τούτους τοὺς λόγους; ἑνὸς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ὑμῶν, ἐπειδάν τι λέγοντος ἀκούῃ μου τῶν πεπραγμένων, καὶ δοκῇ δεινὸν αὐτῷ καὶ ὑπερβάλλον εἶναι « Εἶτα τότ' οὐκ ἔλεγες παράρρημα ταῦτα; οὐδ' ἐδίδασκες ἡμᾶς; » θαυμάζῃ, ἀλλὰ μεμνημένοι τὰς ὑποσχέσεις τὰς τούτων, ἃς ἐφ' ἑκάστων ποιούμενοι τῶν καιρῶν ἐξέκλειον λόγου τυγχάνειν τοὺς ἄλλους, καὶ τὴν ἀπαγγελίαν τὴν τούτου ταύτην τὴν καλήν, εἰδῆθ', ὅτι, πρὸς ἅπασι τοῖς ἄλλοις, καὶ τοῦτο ἠδίκησθε ὑπ' αὐ-

devant vous; l'opposition n'était évidemment qu'une turbulente jalousie; et l'ambassade avait fait merveille pour servir les vrais intérêts de la République.

Mais pourquoi ai-je commencé par vous rappeler ces faits, par vous citer ces discours? voici, Athéniens, ma principale raison. Je veux qu'aucun de vous, m'entendant accuser le passé, frappé de l'énormité de ces attentats, ne s'écrie : « Eh quoi! tu n'as point parlé sur-le-champ? tu ne nous a pas éclairés à l'instant même?» Je veux qu'au souvenir des promesses avec lesquelles ces hommes, à chaque occasion, fermaient la bouche aux autres citoyens, au souvenir de la pompeuse déclaration d'Eschine, vous reconnaissiez dans les déceptions de ces mêmes promesses, dans tout ce charlatanisme d'espé-

οἱ δὲ ἀντιλέγοντες
κατεφαίνοντο
ὄχλος
ἄλλως καὶ βασκανία·
ταῦτα δὲ
ἐδόκει πεπρᾶχθαι
τῇ πόλει
θαυμάσια ἡλίκα
καὶ συμφέροντα.

Τοῦ χάριν δὴ ὑπέμνησα
νῦν ταῦτα
πρῶτα ὑμᾶς,
καὶ διεξῆλθον
τούτους τοὺς λόγους,
ὦ ἄνδρες Ἀθηναῖοι,
ἑνὸς μὲν
μάλιστα καὶ πρώτου,
ἵνα μηδεὶς ὑμῶν,
ἐπειδὰν ἀκούῃ μου λέγοντός
τι τῶν πεπραγμένων,
καὶ δοκῇ αὐτῷ
εἶναι δεινὸν
καὶ ὑπερβάλλον,
θαυμάζῃ,
« Εἶτα οὐκ ἔλεγες τότε
παραχρῆμα ταῦτα;
οὐδὲ ἐδίδασκες ἡμᾶς; »
ἀλλὰ
μεμνημένοι τὰς ὑποσχέσεις
τὰς τούτων,
ἃς ποιούμενοι
ἐπὶ ἑκάστων τῶν καιρῶν
ἐξέκλειον τοὺς ἄλλους
τυγχάνειν λόγου,
καὶ
τὴν ἀπαγγελίαν ταύτην
τὴν καλὴν τὴν τούτου,
εἰδῆτε, ὅτι,
πρὸς ἅπασι τοῖς ἄλλοις,
ἠδίκησθε ὑπὸ αὐτοῦ

d'autre-part, ceux qui contredisaient
paraissaient-évidemment
importunité
d'ailleurs et envie;
et ces *faits, rapportés par Eschine,*
semblaient avoir été exécutés
pour la République [mirables),
comme admirables combien (très-ad-
et utiles.

Pourquoi donc ai-je rappelé
maintenant ces choses
les premières à vous,
et ai-je exposé
ces discours?
ô hommes Athéniens,
c'est pour un *motif*, d'une part,
principalement et le premier,
à savoir, afin que nul de vous,
lorsqu'il entendra moi citant
quelqu'une des *actions* commises
et qu'elle paraîtra à lui [*par Eschine,*
être très-coupable
et dépassant-la-mesure,
ne s'écrie-avec-étonnement;
« Eh quoi! tu ne parlais pas alors
à-l'instant-même de cela!
et tu n'*en* instruisais pas nous! »
mais *c'est afin que*
vous souvenant des promesses
celles de ces *gens*-là,
lesquelles faisant
à chaque occasion
ils exclurent les autres *députés*
d'obtenir la parole,
et *afin que vous souvenant*
de ce rapport [chine),
le *rapport* brillant de celui-ci (Es-
vous sachiez que,
outre tous *ses* autres *torts*,
vous fûtes lésés par lui

τοῦ, ὅτι τἀληθῆ παραχρῆμα καὶ ἡνίκα ἐδει, πυνθάνεσθαι διεκω
λύθητε, ἐλπίσι καὶ φενακισμοῖς καὶ ὑποσχέσεσιν ἐξαπατώμενοι.
Πρώτου μὲν τούτου καὶ μάλισθ', οὗπερ εἶπον, ἕνεκα ταῦτα διεξ-
ῆλθον. Δευτέρου δὲ τίνος; καὶ οὐδὲν ἐλάττονος ἢ τούτου, ἵνα
τήν, ὅτ' ἀδωροδόκητος ὑπῆρχε, προαίρεσιν αὐτοῦ τῆς πολιτείας
ἀναμνησθέντες, ὡς προβεβλημένη καὶ ἄπιστος ἦν πρὸς τὸν Φί-
λιππον, τὴν μετὰ ταῦτ' ἐξαίφνης γεγονυῖαν πίστιν καὶ φιλίαν
σκέψησθε. Εἶτ' εἰ μὲν ἐκβέβηκεν ὅσ' ἀπήγγειλε πρὸς ὑμᾶς οὗ-
τος, καὶ καλῶς ἔχει τὰ πεπραγμένα, διὰ τὴν ἀλήθειαν καὶ τὸ
συμφέρον τῇ πόλει γεγενῆσθαι νομίσητε· εἰ δὲ πάντα τἀναντία,
ὧν οὗτος εἶπε, πέπρακται, καὶ πολλὴν αἰσχύνην καὶ μεγάλους

rances, la cause de mille iniquités, et surtout l'obstacle qui vous a empêchés d'apprendre la vérité lorsqu'elle était récente et opportune. Tel est le premier, le plus puissant motif qui m'a fait entrer dans ces détails. Je désirais, en second lieu, et cette raison n'est guère moins importante, qu'après vous être représenté Eschine professant une politique désintéressée dont sa méfiance contre Philippe se faisait un rempart, vous le vissiez plus tard devenu soudain son ami et son affidé. Enfin, si tout ce qu'il annonçait s'est réalisé, si les événements nous ont été propices, croyez qu'il agissait avec franchise et pour les intérêts d'Athènes; mais, s'il est arrivé tout le contraire de ce qu'il prédisait, s'il n'en est résulté pour la patrie

καὶ τοῦτο,	en ceci encore,
ὅτι διεκωλύθητε	que vous fûtes empêchés
πυνθάνεσθαι τὰ ἀληθῆ	d'apprendre la vérité
παραχρῆμα	sur-le-champ
καὶ ἡνίκα ἔδει,	et lorsqu'il *le* fallait,
ἐξαπατώμενοι	étant (parce que vous étiez) trompés
ἐλπίσι καὶ φενακισμοῖς	par espérances et déceptions
καὶ ὑποσχέσεσιν.	et promesses *fallacieuses*.
Διεξῆλθον ταῦτα	J'ai exposé-en-détail ces choses
καὶ μάλιστα ἕνεκα τούτου μὲν	principalement à cause de ce *motif*-là
πρώτου,	*le* premier,
οὗπερ εἶπον.	que je viens-de-dire.
Τίνος δὲ δευτέρου;	Mais pour quel second motif?
καὶ οὐδὲν ἐλάττονος	*pour un motif* nullement moindre
ἢ τούτου,	que celui-là,
ἵνα	*à savoir*, afin que,
ἀναμνησθέντες	vous étant rappelé
τὴν προαίρεσιν αὐτοῦ	le système de lui
τῆς πολιτείας,	de (en) politique,
ὡς ἦν προβεβλημένη	combien il était poussé-en-avant
καὶ ἄπιστος πρὸς τὸν Φίλιππον,	et méfiant envers Philippe,
σκέψησθε πίστιν	vous considériez la confiance
καὶ φιλίαν	et l'amitié
τὴν γεγονυῖαν	celle qui était née
ἐξαίφνης μετὰ ταῦτα.	tout-à-coup après cela.
Εἶτα	Ensuite, *c'est afin que*,
εἰ μὲν	si, d'une part,
ὅσα οὗτος ἀπήγγειλε	tout ce que cet *homme* a rapporté
πρὸς ὑμᾶς	à vous
ἐκβέβηκε,	est survenu (s'est réalisé),
καὶ τὰ πεπραγμένα	et *si* les choses qui ont été accomplies
ἔχει καλῶς,	sont bien,
νομίσητε	vous estimiez *que tout cela*
γεγενῆσθαι	avoir (a) eu-lieu
διὰ τὴν ἀλήθειαν	au moyen de la sincérité
καὶ τὸ συμφέρον τῇ πόλει·	et de *services* utiles à la République;
εἰ δὲ	*c'est afin que*, si, d'autre part,
πάντα πέπρακται τὰ ἐναντία	toutes choses ont été faites contraires
ὧν οὗτος εἶπε,	*à ce* que cet *homme* déclara,
καὶ ταῦτα ἔχει	et *si* elles contiennent

κινδύνους ταῦτ' ἔχει τῇ πόλει, διὰ τὴν αἰσχροκέρδειαν τὴν ἑαυτοῦ καὶ τὸ χρημάτων ἀποδόσθαι τἀληθῆ, μεταβεβλημένον αὐτὸν εἰδῆτε.

Βούλομαι δ', ἐπειδήπερ εἰς τούτους προήχθην τοὺς λόγους, ὃν τρόπον τὰ περὶ τοὺς Φωκέας πράγμαθ' ὑμῶν παρείλοντο, πρῶτον εἰπεῖν ἁπάντων. Δεῖ δὲ μηδέν' ὑμῶν, ὦ ἄνδρες δικασταί, εἰς τὸ τῶν πραγμάτων μέγεθος ἀποβλέψαντα, μείζους τὰς κατηγορίας καὶ τὰς αἰτίας τῆς τούτου δόξης νομίσαι, ἀλλ' ἐκεῖν' ὁρᾷν, ὅτι ὅντιν' ἂν ὑμεῖς εἰς ταύτην τὴν τάξιν κατεστήσατε, καὶ τῶν συμβάντων καιρῶν ἐποιήσατε κύριον, οὗτος, εἴπερ, ὥσπερ οὗτος, ἐβουλήθη, μισθώσας αὑτόν, ἐξαπατᾷν ὑμᾶς καὶ φενακίζειν, τῶν ἴσων αἴτιος ἦν ἂν κακῶν, ὅσωνπερ καὶ οὗτος. Οὐ γάρ, εἰ φαύλοις χρῆσθ' ὑμεῖς εἰς τὰ κοινὰ πολλάκις ἀνθρώποις, καὶ τὰ

qu'une grande honte et des périls menaçants, c'est à sa rapacité sordide, c'est à l'or reçu en échange de la vérité que vous attribuerez sa métamorphose.

Puisque je me suis avancé sur ce point, je veux, avant tout, dire par quel détour on vous a enlevé toute influence dans les affaires de la Phocide. Et que nul de vous, ô juges, mesurant la hauteur des événements, ne pense que j'impute à l'accusé des crimes plus grands que son crédit; mais considérez que tout citoyen placé par vous au même poste, et laissé l'arbitre des circonstances, s'il eût voulu, comme Eschine, se vendre et vous abuser par des impostures, aurait causé autant de maux qu'Eschine: car, si, dans le gouvernement, vous employez souvent des hommes méprisables, les intérêts que les

τῇ πόλει — pour la République
πολλὴν αἰσχύνην — extrême honte
καὶ μεγάλους κινδύνους, — et grands périls,
εἰδῆτε — vous sachiez [duite politique)
αὐτὸν μεταβεβλημένον — lui changé (qu'il a changé dans sa con-
διὰ τὴν αἰσχροκέρδειαν — par l'effet du honteux-amour-du-gain
τὴν ἑαυτοῦ — celui de lui-même (qui est en lui)
καὶ τὸ ἀποδόσθαι — et *par l'effet* du avoir trahi
τὰ ἀληθῆ χρημάτων. — la vérité pour de l'argent.

Ἐπειδήπερ δὲ προήχθην — Puisque j'ai été poussé-en-avant
εἰς τούτους τοὺς λόγους, — dans ces discours-là,
βούλομαι εἰπεῖν πρῶτον — je veux dire *comme* première
ἁπάντων — de toutes choses
ὃν τρόπον πράγματα — de quelle manière *l*es affaires
τὰ περὶ τοὺς Φωκέας — celles concernant les Phocidiens
παρείλοντο ὑμῶν. — furent enlevées à vous.

Δεῖ δέ, ὦ ἄνδρες δικασταί, — Or il faut, ô hommes juges,
μηδένα ὑμῶν, — *qu'*aucun de vous,
ἀποβλέψαντα — portant-ses-regards
εἰς τὸ μέγεθος τῶν πραγμάτων, — sur la grandeur des événements,
νομίσαι τὰς κατηγορίας — croire (ne croie) les accusations
καὶ τὰς αἰτίας — et les griefs
μείζους — plus grands
δόξης τῆς τούτου, — que le crédit de celui-ci (d'Eschine),
ἀλλὰ ὁρᾷν ἐκείνο, — mais *il faut* considérer ceci,
ὅτι ὁντινα ὑμεῖς ἂν κατεστήσατε — que, quiconque vous auriez établi
εἰς ταύτην τὴν τάξιν, — à ce même poste *d'ambassadeur*,
καὶ ἐποιήσατε κύριον — et vous auriez fait maître-absolu
καιρῶν τῶν συμβάντων, — des circonstances survenues,
οὗτος, εἴπερ ἐβουλήθη, — celui-là, si-toutefois il eût voulu,
ὥςπερ οὗτος, — comme cet *homme* (comme Eschine),
μισθώσας αὑτόν, — s'étant fait-mercenaire lui-même,
ἐξαπατᾷν καὶ φενακίζειν ὑμᾶς, — tromper et éblouir-faussement vous,
ἦν ἂν αἴτιος κακῶν — serait auteur de maux
τῶν ἴσων, — égaux *à ceux*
ὅσωνπερ καὶ οὗτος. — dont cet *homme* aussi *a été l'auteur*.

Εἰ γὰρ ὑμεῖς χρῆσθε πολλάκις — Car, si vous vous servez souvent
ἀνθρώποις φαύλοις — d'hommes méprisables
εἰς τὰ κοινά, — dans les *affaires* publiques,
καὶ τὰ πράγματα — à leur tour les affaires

πράγματ' ἐστὶ φαῦλα, ὧν ἡ πόλις ἀξιοῦται παρὰ τοῖς ἄλλοις, οὐδὲ πολλοῦ δεῖ. Εἶτα καὶ Φωκέας ἀπολώλεκε μέν, οἶμαι, Φίλιππος, συνηγωνίσαντο δ' οὗτοι. Τοῦτο δὴ δεῖ σκοπεῖν καὶ ὁρᾶν, εἰ, ὅσα τῆς Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἦκε, ταῦθ' ἅπαντ' ἀπώλεσαν οὗτοι καὶ διέφθειραν ἑκόντες, οὐχ ὡς ὅδε Φωκέας ἀπώλεσεν ἂν καθ' ἑαυτόν· πόθεν; Δὸς δέ μοι τὸ προβούλευμα, ὃ πρὸς τὴν ἐμὴν ἀπαγγελίαν ἐψηφίσαθ' ἡ βουλή, καὶ τὴν μαρτυρίαν τὴν τοῦ γράψαντος αὐτὸ τότε, ἵν' εἰδῆθ', ὅτι ἐγὼ μὲν οὐ, τότε σιγήσας, νῦν ἀφίσταμαι τῶν πεπραγμένων, ἀλλ' εὐθὺς κατηγόρουν, καὶ προεώρων τὰ μέλλοντα· ἡ βουλὴ δέ, ἡ μὴ κωλυθεῖσ' ἀκοῦσαι τἀληθῆ παρ' ἐμοῦ, οὔτ' ἐπήνεσε τούτους,

peuples confient à l'honneur d'Athènes ne le sont point; il s'en faut de beaucoup. D'ailleurs, dans ma pensée, le destructeur des Phocidiens est bien Philippe; mais nos députés l'ont secondé. Il faut donc examiner si, en tout ce qui dépendait d'elle, l'ambassade a volontairement perdu et ruiné la Phocide, et non comment la catastrophe de la Phocide eût été l'œuvre du seul Philippe, car cela est impossible. — Prends le projet de décret arrêté par le Conseil sur mon rapport, et la déposition du citoyen qui l'a rédigé. — On y verra que je ne répudie pas aujourd'hui ma part des événements après m'être tu alors, mais qu'à l'instant même j'accusais et lisais dans l'avenir; on verra que le Conseil, à qui je fis entendre la vérité sans obstacle, n'approuva point la conduite des députés, et ne la jugea pas digne

ὧν ἡ πόλις	dont la République
ἀξιοῦται	est-honorablement-chargée
παρὰ τοῖς ἄλλοις	par les autres *États*
οὐκ ἐστὶ φαῦλα,	ne sont pas méprisables,
οὐδὲ πολλοῦ δεῖ.	non, de beaucoup s'en faut.
Εἶτα καὶ Φίλιππος μέν,	D'ailleurs aussi Philippe, d'une part,
οἶμαι, ἀπολώλεκε Φωκέας,	je *le* crois, a ruiné les Phocidiens,
οὗτοι δὲ	*mais* ces *gens-ci*, de leur côté,
συνηγωνίσαντο.	luttèrent-avec *lui pour cela.*
Δεῖ δὴ σκοπεῖν	Il faut donc examiner
καὶ ὁρᾶν τοῦτο,	et regarder ceci,
εἰ οὗτοι ἀπώλεσαν	si ces *hommes* (les députés) perdirent
καὶ διέφθειραν ἑκόντες	et détruisirent volontairement
ὅσα τῆς σωτηρίας	tous les *moyens* de salut (de sauver)
Φωκέων	des Phocidiens (les Phocidiens)
ἦκεν	qui venaient
ἐπὶ τὴν πρεσβείαν,	à-la-disposition-de l'ambassade,
οὐχ ὡς	*et il* ne *faut* pas *examiner* comment
ὅδε	celui-ci (Philippe)
ἀπώλεσεν ἂν Φωκέας	aurait détruit les Phocidiens
κατὰ ἑαυτόν·	par lui-même *tout seul :*
πόθεν;	*car* par-quel-moyen *l'eût-il fait?*
Δὸς δέ μοι τὸ προβούλευμα,	Donne-moi le projet-de-décret
ὃ ἡ βουλὴ ἐψηφίσατο	que le Conseil décréta
πρὸς τὴν ἐμὴν ἀπαγγελίαν,	d'après mon rapport,
καὶ τὴν μαρτυρίαν	et l'attestation
τὴν τοῦ γράψαντος	celle de celui qui écrivit
αὐτὸ τότε,	ce *projet de décret* alors,
ἵνα εἰδῆτε	afin que vous sachiez
ὅτι ἐγὼ μὲν	que moi, de-mon-côté,
σιγήσας τότε,	m'étant tu à-cette-époque,
οὐκ ἀφίσταμαι νῦν	je ne me sépare pas maintenant
τῶν πεπραγμένων,	des choses faites,
ἀλλὰ κατηγόρουν εὐθύς,	mais *que* j'accusais aussitôt,
καὶ προεώρων τὰ μέλλοντα·	et *que* je prévoyais l'avenir;
ἡ βουλὴ δέ,	*et que*, de-son-côté, le Conseil,
ἡ μὴ κωλυθεῖσα	n'ayant pas été empêché
ἀκοῦσαι τὰ ἀληθῆ παρὰ ἐμοῦ,	d'entendre la vérité de moi,
οὔτε ἐπῄνεσε τούτους,	ni ne loua ces *hommes*,
οὔτε ἠξίωσε καλέσαι	ni ne jugea-convenable de *les* inviter

οὔτ' εἰς τὸ πρυτανεῖον ἠξίωσε καλέσαι[1]. Καίτοι τοῦτ', ἀφ' οὗ γέγονεν ἡ πόλις, οὐδεὶς πώποτε φήσει παθεῖν οὐδένας πρέσβεις, οὐδὲ Τιμαγόραν[2], οὗ θάνατον κατεχειροτόνησεν ὁ δῆμος. Ἀλλ' οὗτοι πεπόνθασι. Λέγε δ' αὐτοῖς, πρῶτον μὲν τὴν μαρτυρίαν, εἶτα τὸ προβούλευμα.

ΜΑΡΤΥΡΙΑ. ΠΡΟΒΟΥΛΕΥΜΑ.

Ἐνταῦθ' οὔτ' ἔπαινος, οὔτε κλῆσις εἰς τὸ πρυτανεῖόν ἐστι τῶν πρέσβεων ὑπὸ τῆς βουλῆς. Εἰ δέ φησιν οὗτος, δειξάτω καὶ παρασχέσθω, κἀγὼ καταβαίνω. Ἀλλ' οὐκ ἔστιν. Εἰ μὲν τοίνυν ταὐτὰ πάντες ἐπρεσβεύομεν, δικαίως οὐδέν' ἐπήνεσεν ἡ βουλή· δεινὰ γὰρ τὰ πεπραγμένα πᾶσιν· εἰ δ' οἱ μὲν τὰ δίκαια ἔπραττον ἡμῶν, οἱ δὲ τἀναντία, διὰ τοὺς πεπονηρευμένους, ὡς ἔοικε, τοῖς ἐπιεικέσι συμβεβηκὸς ἂν εἴη ταύτης τῆς ἀτιμίας μετεσχη-

d'une invitation au Prytanée : affront qui, depuis l'établissement de la République, n'a été fait à aucun ambassadeur, pas même à ce Timagoras, hautement condamné à mort par le peuple; affront que ceux-ci ont essuyé. — Lis d'abord la déposition, ensuite le projet de décret.

TÉMOIGNAGES. PROJET DE DÉCRET.

Il n'y a là ni approbation, ni invitation au Prytanée, de la part du conseil, pour les députés. Si l'accusé prétend le contraire, qu'il cite, qu'il prouve, et je descends de la tribune; mais il n'en est rien. Si donc nous avons tous tenu la même conduite dans l'ambassade, le Conseil était fondé à refuser à tous son approbation, car tous étaient vraiment très-coupables. Mais, si les uns ont agi avec droiture, et les autres avec perfidie, il a pu en résulter que les prévaricateurs auront fait partager leur ignominie aux députés intègres. Quel est donc,

εἰς τὸ Πρυτανεῖον.
Καίτοι οὐδεὶς φήσει
οὐδένας πρέσβεις
παθεῖν τοῦτο
ἀπὸ οὗ ἡ πόλις γέγονεν,
οὐδὲ Τιμαγόραν, οὗ ὁ δῆμος
κατεχειροτόνησε θάνατον.
Ἀλλὰ οὗτοι πεπόνθασι.
Λέγε δὲ αὐτοῖς
πρῶτον μὲν τὴν μαρτυρίαν,
εἶτα τὸ προβούλευμα.

au Prytanée.
Toutefois nul ne dira
aucuns députés
avoir éprouvé cela (ces refus)
depuis que la République a existé,
pas même Timagoras, dont le peuple
vota-par-mains-levées la mort.
Mais ceux-ci *l'*ont éprouvé.
Lis donc à eux (aux juges)
d'abord l'attestation,
ensuite le projet-de-décret.

ΜΑΡΤΥΡΙΑ.
ΠΡΟΒΟΥΛΕΥΜΑ.

TÉMOIGNAGES.
PROJET-DE-DÉCRET.

Ἐνταῦθα
οὔτε ἔπαινος τῶν πρέσβεων,
οὔτε κλῆσις
εἰς τὸ πρυτανεῖόν ἐστιν
ὑπὸ τῆς βουλῆς.
Εἰ δὲ οὗτός
φησιν,
δειξάτω
καὶ παρασχέσθω,
καὶ ἐγὼ καταβαίνω.
Ἀλλὰ οὐκ ἔστιν.
Εἰ μὲν τοίνυν πάντες
ἐπρεσβεύομεν
τὰ αὐτά,
ἡ βουλὴ ἐπήνεσεν οὐδένα
δικαίως·
τὰ γὰρ πεπραγμένα πᾶσι
δεινά·
εἰ δὲ οἱ μὲν ἡμῶν
ἔπραττον τὰ δίκαια,
οἱ δὲ
τὰ ἐναντία,
εἴη ἂν συμβεβηκός,
ὡς ἔοικε,
τοῖς ἐπιεικέσι
μετεσχηκέναι

Là (dans ces deux pièces)
ni éloge des députés,
ni invitation
au Prytanée n'existe
de la part du Conseil.
Si, au contraire, celui-ci (Eschine)
affirme *qu'il y en eut*,
qu'il *le* montre
et qu'il exhibe *la preuve*,
et moi je descends *de la tribune*.
Mais il n'en existe point.
Si donc, d'une part, tous
nous faisions-dans-l'ambassade
les mêmes choses,
le Conseil *ne* loua aucun *député*
avec-justice :
car les *actions* faites par tous
avaient été très-coupables;
si, d'autre part, ceux-ci parmi nous
faisaient des *actions* justes,
si, d'autre part, ceux-là
faisaient le contraire,
il serait advenu,
comme il semble,
aux justes (aux députés intègres)
de participer

κέναι. Πῶς οὖν ῥᾳδίως πάντες εἴσεσθε, τίς ποτ' ἔσθ' ὁ πονηρός; ἀναμνήσθητε παρ' ὑμῖν αὐτοῖς, τίς ἔσθ' ὁ κατηγορῶν τῶν πεπραγμένων ἐξ ἀρχῆς. Δῆλον γὰρ ὅτι τῷ μὲν ἠδικηκότι σιγᾷν ἐξήρκει, καὶ διακρουσαμένῳ τὸν παρόντα χρόνον, μηκέτ' εἰς λόγον περὶ τῶν πεπραγμένων ἑαυτὸν καθιστάναι· τῷ δὲ μηδὲν αὑτῷ συνειδότι δεινὸν εἰςῄει, εἰ πονηρῶν καὶ δεινῶν ἔργων δόξει κοινωνεῖν τῷ σιωπῆσαι. Εἰμὶ τοίνυν ὁ κατηγορῶν ἐξ ἀρχῆς ἐγὼ τούτων· τούτων δ' οὐδεὶς ἐμοῦ.

Ἡ μὲν τοίνυν βουλὴ ταῦτα προβεβουλεύκει· τῆς δ' ἐκκλησίας γιγνομένης, καὶ τοῦ Φιλίππου παρόντος ἐν Πύλαις ἤδη (ἦν γὰρ τοῦτο πρῶτον ἁπάντων τῶν ἀδικημάτων, τὸ τὸν Φίλιππον ἐπι-

pour vous tous, le moyen facile de discerner le coupable? Rappelez-vous quel est celui qui, dès le retour, protesta contre tout ce qui s'était fait. Au prévaricateur il suffisait sans doute de se taire, de laisser adroitement s'écouler le temps, de ne point se présenter pour répondre sur sa conduite; mais le député dont la conscience était pure voyait du danger à paraître, par son silence, complice de ces actes odieux et criminels. Or, c'est moi qui, dès le retour, me levai contre ces hommes; et aucun d'eux ne se leva contre moi.

Le Conseil avait donc préparé le décret: le peuple s'assemble; Philippe était déjà aux Thermopyles, et c'est là le premier crime, d'avoir livré au Macédonien une position si importante. Aussi, tandis que

ταύτης τῆς ἀτιμίας,
διὰ τοὺς
πεπονηρευμένους.
Πῶς οὖν πάντες εἴσεσθε
ῥᾳδίως
τίς ποτέ ἐστιν ὁ πονηρός;
ἀναμνήσθητε παρὰ ὑμῖν αὐτοῖς
τίς ἔστιν ὁ κατηγορῶν
ἐξ ἀρχῆς
τῶν πεπραγμένων.
Δῆλον γὰρ
ὅτι ἐξήρκει μὲν
τῷ ἠδικηκότι
σιγᾷν,
καὶ διακρουσαμένῳ
χρόνον τὸν παρόντα,
μηκέτι καθιστάναι ἑαυτὸν
εἰς λόγον
περὶ τῶν πεπραγμένων·
εἰσῄει δὲ
δεινὸν
τῷ συνειδότι αὐτῷ
μηδέν,
εἰ δόξει
τῷ σιωπῆσαι
κοινωνεῖν ἔργων
πονηρῶν καὶ δεινῶν.
Ἐγὼ τοίνυν εἰμὶ ὁ κατηγορῶν
τούτων ἐξ ἀρχῆς·
οὐδεὶς δὲ τούτων
ἐμοῦ.

Ἡ μὲν τοίνυν βουλὴ
προβεβουλεύκει ταῦτα·
τῆς δὲ ἐκκλησίας
γιγνομένης,
καὶ τοῦ Φιλίππου παρόντος ἤδη
ἐν Πύλαις, τοῦτο γάρ,
τὸ ἐπιστῆσαι τὸν Φίλιππον
τοῖς πράγμασι τούτοις,
ἦν πρῶτον

à cette (la même) ignominie,
à cause de ceux [ment.
qui s'étaient conduits-criminelle-
Comment donc tous saurez-vous
aisément
quel est enfin le *député* méchant?
rappelez en vous-mêmes
quel est celui qui accusait
dès le principe
ce qui s'était fait.
Car *il est* évident
qu'il suffisait d'un côté
à celui qui avait agi-injustement
de se taire,
et en éludant-par-de-faux-fuyants
le temps présent,
de ne plus *se* constituer lui-même
en reddition-de-comptes
touchant les faits;
que, d'un autre côté, il se présentait
comme dangereux
pour celui qui n'avait-conscience-
de rien *de mal*, [avec lui-même
s'il semblait
par le se taire (par son silence)
être-complice d'actes
méchants et horribles.
Or moi je suis celui qui accusait
eux dès le principe;
mais nul d'eux
n'accusait moi.

Donc, de son côté, le Conseil
avait préalablement-délibéré cela :
d'autre part, l'assemblée *du peuple*
se faisant,
et Philippe étant présent déjà
aux Thermopyles, et cela, *à savoir*,
avoir fait-dominer Philippe [pays),
sur ces affaires (sur les affaires de ce
était la première

στῆσαι τοῖς πράγμασι τούτοις), καὶ δέον ὑμᾶς ἀκοῦσαι περὶ τῶν πραγμάτων, εἶτα βουλεύσασθαι, μετὰ ταῦτα δὲ πράττειν ὅ τι δόξαι, ἅμ' ἀκούειν συνέβη[1] κἀκεῖνον παρεῖναι, καὶ μηδ' ὅ τι χρῆν ποιεῖν ῥᾴδιον εἰπεῖν εἶναι. Πρὸς δὲ τούτοις, τοῦτο μὲν οὐδεὶς ἀνέγνω τῷ δήμῳ τὸ προβούλευμα, οὐδ' ἤκουσεν ὁ δῆμος· ἀναστὰς δ' οὗτος ἐδημηγόρει ταῦθ' ἃ διεξῆλθον ἄρτι πρὸς ὑμᾶς ἐγώ, τὰ πολλὰ καὶ μεγάλ' ἀγαθά, ἃ πεπεικὼς ἔφη τὸν Φίλιππον ἥκειν, καὶ διὰ τοῦτο χρήμαθ' ἑαυτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. Ὥσθ' ὑμᾶς ἐκπεπληγμένους τῇ παρουσίᾳ τὸ πρῶτον τῇ τοῦ Φιλίππου, καὶ τούτοις ὀργιζομένους ἐπὶ τῷ μὴ προηγγελκέναι, πρᾳοτέρους γενέσθαι τινός, πάνθ' ὅσ' ἐβούλεσθε ὑμῖν ἔσεσθαι προσδοκήσαντας, καὶ μηδὲ φωνὴν ἐθέλειν ἀκούειν ἐμοῦ

vous deviez entendre un rapport sur l'état des choses, ensuite délibérer, exécuter enfin, qu'arrive-t-il? vous apprenez que le prince est là, lorsqu'il n'est plus possible de vous donner un avis opportun. Ce n'est pas tout : personne ne lut au peuple le projet de décret, le peuple n'en apprit rien ; et l'accusé étalait à la tribune ces brillants, ces nombreux avantages dont je vous entretenais tout à l'heure : c'est là ce qu'il avait persuadé à Philippe, c'est pour cela que les Thébains avaient promis une prime à son meurtrier. Vous donc, que l'approche de Philippe avait d'abord effrayés, vous qu'avait irrités le silence de l'ambassade, calmés à l'excès par l'espoir que tout s'arrangerait à votre gré, vous ne voulûtes écouter ni moi, ni aucun

ἁπάντων τῶν ἀδικημάτων,	de toutes les iniquités *d'Eschine;*
καὶ δέον	et fallant (et tandis qu'il fallait)
ὑμᾶς ἀκοῦσαι	*que* vous entendissiez
περὶ τῶν πραγμάτων,	*rendre compte* des choses,
εἶτα βουλεύσασθαι,	ensuite délibérer,
μετὰ ταῦτα δὲ	et après cela
πράττειν ὅ τι δόξαι,	exécuter ce qui aurait été décidé,
συνέβη ἅμα καὶ ἀκούειν	il advint à la fois et d'apprendre
ἐκεῖνον παρεῖναι,	celui-là (Philippe) être-proche,
καὶ μηδὲ εἶναι ῥᾴδιον	et de ne pas être facile
εἰπεῖν ὅ τι χρῆν ποιεῖν.	de dire ce qu'il faudrait faire.
Πρὸς δὲ τούτοις, οὐδεὶς μὲν	Outre cela, personne
ἀνέγνω τοῦτο τὸ προβούλευμα	ne lut ce décret-préliminaire
τῷ δήμῳ,	au peuple,
οὐδὲ ὁ δῆμος ἤκουσεν·	ni le peuple ne *l'*entendit;
οὗτος δὲ ἀναστὰς	mais celui-ci (Eschine) s'étant levé
ἐδημηγόρει	disait-publiquement
ταῦτα ἃ ἐγὼ διεξῆλθον	ce que j'ai exposé-en-détail
ἄρτι πρὸς ὑμᾶς,	tout-à-l'heure près de vous,
ἀγαθὰ τὰ πολλὰ καὶ μεγάλα,	avantages nombreux et grands,
ἃ	pour lesquels
πεπεικὼς τὸν Φίλιππον	ayant persuadé Philippe [*doine*,
ἔφη ἥκειν,	il dit venir (qu'il revenait) *de Macé-*
καὶ τοὺς Θηβαίους	et *que* les Thébains
ἐπικεκηρυχέναι	firent-promettre-par-le-crieur-public
χρήματα	de l'argent
ἑαυτῷ	contre lui-même (à son meurtrier)
διὰ τοῦτο.	pour cela.
Ὥστε ὑμᾶς ἐκπεπληγμένους	Tellement que vous, effrayés
τὸ πρῶτον τῇ παρουσίᾳ	d'abord de l'approche
τῇ τοῦ Φιλίππου,	celle de Philippe,
καὶ ὀργιζομένους τούτοις	et irrités *contre* ces *gens*-ci, [port,
ἐπὶ τῷ μὴ προηγγελκέναι,	au sujet du n'avoir-pas-fait-le-rap-
γενέσθαι	être devenus (vous devîntes)
πραοτέρους τινός,	plus calmes que qui *que ce soit,*
προσδοκήσαντας	vous attendant (parce que vous comp-
πάντα ὅσα ἐβούλεσθε	tout ce que vous vouliez [tiez)
ἔσεσθαι	devoir être *obtenu*
ὑμῖν,	à vous (par vous), [pas)
καὶ μηδὲ ἐθέλειν	et ne pas vouloir (et vous ne voulûtes

μηδ' ἄλλου μηδενός. Καὶ μετὰ ταῦτ' ἀνεγιγνώσκεθ' ἡ ἐπιστολὴ ἡ παρὰ τοῦ Φιλίππου, ἣν οὗτος ἔγραψεν ἀπολειφθεὶς ἡμῶν, ἀντικρυς οὕτως καὶ διαῤῥήδην ἀπολογία γεγραμμένη τῶν τούτοις ἡμαρτημένων. Καὶ γάρ, ὡς αὐτὸς κατεκώλυσεν αὐτοὺς βουλομένους ἐπὶ τὰς πόλεις ἰέναι, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν, ἔνεστι· καὶ ὡς, ἵνα συνδιαλλάττωσιν αὐτῷ τοὺς Ἁλεῖς πρὸς τοὺς Φαρσαλίους[1], κατέσχεν αὐτούς. Καὶ πάντ' ἀναδεχόμενος καὶ εἰς ἑαυτὸν ποιούμενος τὰ τούτων ἁμαρτήματά ἐστιν. Ὑπὲρ δὲ Φωκέων, ἢ Θεσπιέων, ἢ ὧν οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, ἀλλ' οὐδὲ μικρόν. Καὶ τοῦτ' οὐκ ἀπὸ ταυτομάτου τοῦτον ἐπράχθη τὸν τρόπον· ἀλλ' ὑπὲρ μὲν ὧν παρὰ τούτων ὑμᾶς ἔδει δίκην λαμβάνειν, οὐ πεποιηκότων οὐδὲ διωκηκότων οὐδὲν ὧν ὑμεῖς προσετά-

autre. On lut ensuite une lettre de Philippe, rédigée à l'écart par Eschine, apologie ouverte et formelle des députés coupables. Il y est dit qu'ils voulaient se rendre dans les villes alliées et recevoir leurs serments; que Philippe les en a lui-même empêchés, et les a retenus pour l'aider à réconcilier les habitants d'Halos avec ceux de Pharsale. Il se charge enfin de tous leurs délits, et les prend sur son compte. Mais, de la Phocide, de Thespies, de tout ce que l'accusé vous annonçait, pas un mot. Et ce n'est pas sans combinaisons qu'il agissait ainsi. Pour la faute des députés que vous deviez punir de n'avoir rempli aucune partie de leur mandat, c'est lui qui en assume la

ἀκούειν	écouter
φωνὴν ἐμοῦ,	la voix de moi,
μηδὲ μηδενὸς ἄλλου.	ni *celle* d'aucun autre.
Καὶ μετὰ ταῦτα, ἡ ἐπιστολὴ	Et, après cela, la lettre,
ἡ παρὰ τοῦ Φιλίππου,	celle venant-de Philippe,
ἀνεγιγνώσκετο,	était lue,
ἣν οὗτος	laquelle cet *homme* (Eschine)
ἔγραψεν ἀπολειφθεὶς ἡμῶν,	écrivit en s'isolant de nous,
ἀπολογία γεγραμμένη	apologie écrite
ἄντικρυς οὕτω	ouvertement ainsi (très-ouvertement)
καὶ διαῤῥήδην	et explicitement
τῶν ἡμαρτημένων τούτοις.	des fautes-commises par ceux-ci.
Καὶ γάρ, ὡς αὐτὸς κατεκώλυσεν	Car, comme-quoi lui-même empêcha
αὐτοὺς βουλομένους ἰέναι	eux qui voulaient aller
ἐπὶ τὰς πόλεις,	dans les villes *alliées d'Athènes*,
καὶ ἀπολαμβάνειν τοὺς ὅρκους,	et *y* recevoir les serments,
ἔνεστι·	*cela* est-*consigné*-dans *cette lettre;*
καὶ ὡς κατέσχεν	et comme-quoi il retint
αὐτούς,	eux *près de lui*,
ἵνα αὐτῷ συνδιαλλάττωσι	afin qu'ils l'aidassent-à-réconcilier
τοὺς Ἁλεῖς	les Haliens
πρὸς τοὺς Φαρσαλίους.	avec les Pharsaliens.
Καί ἐστιν ἀναδεχόμενος	Et *Philippe* est acceptant (accepte)
καὶ ποιούμενος εἰς ἑαυτόν,	et faisant en lui-même (prend sur lui)
πάντα τὰ ἁμαρτήματα	toutes les prévarications
τούτων.	de ceux-ci.
Ἀλλὰ δὲ οὐδὲ μικρὸν	Mais *il n'y a* pas même un petit *mot*
ὑπὲρ Φωκέων, ἢ Θεσπιέων,	sur les Phocidiens, ou les Thespiens,
ἢ ὧν οὗτος	ou *sur les promesses* que cet *homme*
ἀπήγγειλε πρὸς ὑμᾶς.	annonçait à vous.
Καὶ τοῦτο ἐπράχθη	Et cela fut fait
τοῦτον τὸν τρόπον	de cette façon
οὐκ ἀπὸ ταυτομάτου·	non de son-propre-mouvement;
ἀλλὰ ἐκεῖνος	mais celui-là (Philippe)
ἐκδέχεται τὴν αἰτίαν	prend la responsabilité
ὑπὲρ μὲν ὧν ἔδει	touchant *les faits* dont il fallait
ὑμᾶς λαμβάνειν δίκην	*que* vous tirassiez vengeance
παρὰ τούτων,	de ceux-ci (des députés),
οὐ πεποιηκότων	n'ayant fait
οὐδὲ διωκηκότων οὐδὲν	ni n'ayant réglé aucune

ξατ' ἐν τῷ ψηφίσματι, ἐκεῖνος ἐκδέχεται τὴν αἰτίαν· καί φησιν αὐτὸς αἴτιος γεγενῆσθαι, ὃν οὐκ ἠμέλλεθ' ὑμεῖς, οἶμαι, δυνήσεσθαι κολάσαι. Ὃ δ' ἐκεῖνος ἐξαπατῆσαι καὶ προλαβεῖν τῆς πόλεως ἠβούλετο, οὗτος ἀπήγγειλεν, ἵνα μηδ' ἐγκαλέσαι μηδὲ μέμψασθαι μηδὲν ὕστερον ὑμεῖς ἔχοιτε **Φ**ιλίππῳ, μήτ' ἐν ἐπιστολῇ μήτ' ἄλλοθι μηδαμοῦ τῶν παρ' ἐκείνου τούτων ἐνόντων. **Λ**έγε δ' αὐτοῖς αὐτὴν τὴν ἐπιστολήν, ἣν ἔγραψε μὲν οὗτος, ἔπεμψε δ' ἐκεῖνος· καὶ σκοπεῖθ' ὅτι τοῦτον ἔχει τὸν τρόπον, ὃν διεξελήλυθ' ἐγώ. **Λ**έγε.

ΕΠΙΣΤΟΛΗ.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ἐπιστολῆς, ὡς καλὴ καὶ φιλάνθρωπος. **Π**ερὶ δὲ **Φ**ωκέων, ἢ **Θ**ηβαίων, ἢ τῶν ἄλλων, ὧν οὗτος ἀπήγγειλεν, οὐδὲ γρῦ. Ταύτης τοίνυν οὐδοτιοῦν ἐστιν ὑγιές.

responsabilité, c'est lui-même qu'il déclare coupable, lui que vos rigueurs, je pense, ne pouvaient atteindre. Quant aux promesses par lesquelles il voulait tromper et surprendre la République, c'est Eschine qui en est l'organe, afin que, par la suite, vous ne puissiez ni accuser ni blâmer Philippe, ne trouvant ces promesses ni dans sa lettre, ni dans rien qui émanât de lui-même. — Lis le texte de la lettre composée par l'accusé et envoyée par le prince, et que l'on examine si les choses sont telles que je les présente. Lis.

LETTRE DE PHILIPPE.

Vous entendez, Athéniens : qu'elle est honorable, cette lettre! que d'humanité! Sur les Thébains, les Phocidiens, sur les autres articles du rapport de l'accusé, rien! Non, il n'y a pas là un mot de

ὧν ὑμεῖς προσετάξατε
ἐν τῷ ψηφίσματι·
καί φησιν αὐτὸς
γεγενῆσθαι αἴτιος,
ὃν ὑμεῖς, οἶμαι,
οὐκ ἠμέλλετε
δυνήσεσθαι κολάσαι.
Οὗτος δὲ ἀπήγγειλεν
ἃ
ἐκεῖνος ἠβούλετο
ἐξαπατῆσαι
καὶ προλαβεῖν τῆς πόλεως,
ἵνα ὑμεῖς ἔχοιτε ὕστερον
μηδὲ ἐγκαλέσαι
μηδὲ μέμψασθαι μηδὲν
Φιλίππῳ,
τούτων ἐνόντων
μήτε ἐν ἐπιστολῇ
μήτε μηδαμοῦ ἄλλοθι
τῶν παρὰ ἐκείνου.
Λέγε δὲ αὐτοῖς
τὴν ἐπιστολὴν αὐτήν,
ἣν οὗτος μὲν ἔγραψε,
ἐκεῖνος δὲ ἔπεμψε·
καὶ σκοπεῖτε ὅτι ἔχει
τοῦτον τὸν τρόπον
ὃν ἐγὼ διεξελήλυθα. Λέγε.

des affaires que vous *leur* enjoignîdans le décret;
et il déclare lui-même
en avoir été cause,
lui, que vous, je pense,
vous n'étiez-pas-près
de pouvoir punir.
Mais celui-ci (Eschine) rapporta
les promesses par lesquelles
celui-là (Philippe) voulait
tromper
et prendre-les-devants-sur la République,
pour que vous *ne* pussiez plus tard
ni accuser
ni blâmer nullement
Philippe,
ces *promesses n'*étant *consignées*
ni dans la lettre,
ni nulle part ailleurs
des *pièces émanées* de ce *prince.*
Lis-leur
la lettre elle-même,
que celui-ci (Eschine) écrivit,
mais *que* celui-là (Philippe) envoya;
et considérez que *les choses* sont
de cette façon
que j'ai détaillée. Lis.

ΕΠΙΣΤΟΛΗ.

Ἀκούετε,
ὦ ἄνδρες Ἀθηναῖοι,
τῆς ἐπιστολῆς,
ὡς καλὴ καὶ φιλάνθρωπος.
Περὶ δὲ Φωκέων,
ἢ Θηβαίων, ἢ τῶν ἄλλων,
ὧν οὗτος ἀπήγγειλεν,
οὐδὲ
γρῦ.
Οὐδοτιοῦν τοίνυν ταύτης
ἐστὶν ὑγιές.

LETTRE.

Vous entendez,
ô hommes Athéniens,
la lettre,
combien *elle est* belle et humaine.
Mais concernant Phocidiens,
ou Thébains, ou les autres *affaires,*
dont cet *homme* fit-le-rapport,
pas même
un-grognement-de-cochon (un mot).
Rien-absolument donc de cette *lettre*
n'est sain (vrai).

Καὶ τοῦτ' αὐτίκα δὴ μάλ' ὑμεῖς ὄψεσθε. Οἱ μὲν γὰρ Ἁλεῖς, οὓς ἵνα συνδιαλλάττωσι κατασχεῖν φησὶ τούτους, τοιαύτης τετυχήκασι τῆς διαλλαγῆς, ὥστ' ἐξελήλανται, καὶ ἀνάστατος ἡ πόλις αὐτῶν γέγονεν. Τοὺς δ' αἰχμαλώτους, ὁ σκοπῶν τί ἂν ποιῶν ὑμῖν χαρίσαιτο, οὐδ' ἐνθυμηθῆναί φησι λύσασθαι[1]. Μεμαρτύρηται δὲ δήπουθεν ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ὡς ἐγὼ τάλαντον ἔχων ἐπ' αὐτοὺς ᾠχόμην, καὶ νῦν δὲ μαρτυρηθήσεται. Διὸ καὶ τὴν ἐμὴν φιλοτιμίαν οὗτος ἀφαιρούμενος, τοῦτ' ἔπεισεν ἐκεῖνον ἐγγράψαι. Ὁ τοίνυν μέγιστον ἁπάντων· ὁ γὰρ εἰς τὴν προτέραν γράψας ἐπιστολήν, ἣν ἠνέγκαμεν ἡμεῖς, ὅτι « ἔγραφον δ' ἂν καὶ διαρρήδην, ἡλίχ' ὑμᾶς εὖ ποιήσω, εἰ εὖ ἤδειν καὶ τὴν συμμαχίαν μοι γενησομένην, » γεγονυίας τῆς συμμαχίας, οὗ φησιν

sincérité ; vous allez le voir à l'instant. Il a retenu, dit-il, vos députés pour réconcilier les Haliens : or, quelle réconciliation ceux-ci ont-ils obtenue ? Le peuple a été chassé, la ville détruite. Lui, qui épie les moyens de vous obliger, avoue n'avoir pas eu la pensée de racheter les captifs. C'est que plusieurs fois on vous a publiquement attesté que j'emportais avec moi un talent pour leur rançon, et on l'attestera encore. Aussi, pour m'enlever l'honneur de cette libéralité, l'accusé a-t-il engagé le prince à insérer cela dans sa lettre. Mais voici le plus fort. Philippe, dans une première missive que nous avons apportée, écrivait : *Je m'expliquerais nettement sur tout ce que je veux faire pour vous, si j'étais sûr que vous fissiez aussi alliance avec moi.*

Καὶ ὑμεῖς ὄψεσθε τοῦτο
αὐτίκα δὴ μάλα.
Οἱ μὲν γὰρ Ἁλεῖς,
οὓς
ἵνα συνδιαλλάττωσι
φησὶ κατασχεῖν
τούτους,
τετυχήκασι
τῆς διαλλαγῆς τοιαύτης,
ὥστε ἐξελήλανται,
καὶ ἡ πόλις αὐτῶν
γέγονεν ἀνάστατος.
Ὁ δὲ
σκοπῶν
τί ἂν ποιῶν
χαρίσαιτο ὑμῖν,
φησὶν οὐδὲ ἐνθυμηθῆναι
λύσασθαι τοὺς αἰχμαλώτους.
Μεμαρτύρηται δὲ δήπουθεν
ὑμῖν ἐν τῷ δήμῳ
πολλάκις,
ὡς ἐγὼ ᾠχόμην ἐπὶ αὐτούς,
ἔχων τάλαντον,
καὶ νῦν δὲ μαρτυρηθήσεται.
Διὸ οὗτος
ἀφαιρούμενος
καὶ τὴν ἐμὴν φιλοτιμίαν,
ἔπεισεν ἐκεῖνον
ἐγγράψαι τοῦτο.
Ὃ τοίνυν
μέγιστον ἁπάντων·
ὁ γὰρ γράψας
εἰς τὴν προτέραν ἐπιστολήν,
ἣν ἡμεῖς ἠνέγκαμεν,
ὅτι « ἔγραφον δὲ ἂν καὶ διαῤῥήδην,
ἡλίκα
ποιήσω εὖ ὑμᾶς,
εἰ ἤδειν εὖ καὶ τὴν συμμαχίαν
γενησομένην μοι, »
τῆς συμμαχίας γεγονυίας,

Et vous verrez cela
aussitôt tout à fait (à l'instant même).
Car, d'un côté, les habitants-d'Halos,
lesquels [conciliation desquels)
pour qu'ils réconcilient (pour la ré-
Philippe dit retenir
ceux-ci (les députés),
ont obtenu
une réconciliation telle,
qu'ils ont été expulsés *de leurs*
et *que* la ville d'eux [*foyers,*
est devenue détruite.
D'un autre côté, celui-là (Philippe),
qui examine
quoi faisant
il pourrait-rendre-service à vous,
dit n'avoir pas même eu-dans-l'es-
de racheter les captifs. [prit
C'est qu'il a été attesté
à vous devant le peuple *assemblé*,
plusieurs-fois,
que je partais vers eux,
ayant (emportant) un talent,
et maintenant aussi *cela* sera attesté.
Voilà-pourquoi cet *homme*,
enlevant *à moi*
aussi ma libéralité,
persuada à celui-là (à Philippe)
d'écrire-dans *la lettre* cela.
Mais ce qui *est*
le plus grave de tout, *le voici :*
c'est que celui qui avait écrit
dans la première lettre,
que nous apportâmes,
que « j'écrivis aussi explicitement,
en combien-de-choses
je ferai bien (du bien) à vous,
si je savais bien l'alliance aussi
devant-être à moi *avec vous*, »
celui-là, l'alliance étant-faite,

εἰδέναι, τί ἂν ποιῶν χαρίσαιτο, οὐδ' ὃ αὐτὸς ὑπέσχετο. Τοῦτο γὰρ ἤδει δηλονότι, εἴπερ μὴ ἐφενάκιζεν. Ἀλλὰ μήν, ὅτι ταῦθ' οὕτω τότ' ἔγραψε, λέγε μοι λαβὼν ἐκ τῆς προτέρας ἐπιστολῆς αὐτὸ τοῦτο, ἐνθένδε. Λέγε.

ΕΞ ΕΠΙΣΤΟΛΗΣ.

Οὐκοῦν, πρὶν μὲν εἰρήνης τυχεῖν, εἰ καὶ συμμαχία προσγένοιτ' αὐτῷ, γράψειν ὡμολόγει, ἡλίκα τὴν πόλιν εὖ ποιήσει· ἐπειδὴ δ' ἀμφότερ' αὐτῷ γέγονεν, οὐκ εἰδέναι φησί, τί ἂν ποιῶν χαρίσαιτο· ἐὰν δ' ὑμεῖς λέγητε, ποιήσειν ὃ μήτ' αἰσχύνην μήτ' ἀδοξίαν αὐτῷ φέρει, εἰς ταύτας τὰς προφάσεις καταφεύγων, κἂν ἄρ' εἴπητέ τι, καὶ προαχθῆθ' ὑμεῖς ἐπαγγείλασθαι, ἀναχώρησιν ἑαυτῷ καταλείπων.

Ταῦτα τοίνυν καὶ πόλλ' ἕτερα ἐνῆν παραχρῆμα τότ' εὐθὺς

L'alliance s'est faite, et il prétend ignorer les moyens de vous obliger, ignorer ses propres promesses! Il les connaîtrait, sans doute, s'il ne vous eût pas joués. Mais prouvons qu'il écrivit alors ces lignes. — Prends-moi sa première lettre, et lis le passage en question. Lis.

EXTRAIT DE LA LETTRE.

Ainsi, avant d'obtenir la paix, Philippe promet que, si l'on y joint l'alliance, il écrira ce qu'il doit faire pour la République; et, quand il possède et l'alliance et la paix, il dit ne savoir pas quels bons offices il pourrait vous rendre! Si vous le lui dites, vous, si la séduction de ses promesses vous entraîne à spécifier une demande, il répondra qu'il ne fera rien contre sa gloire : paroles évasives qui seront son refuge, retraite habilement ménagée.

Ces ruses et cent autres encore pouvaient, à l'instant même, être

φησὶν οὐκ εἰδέναι
τί ἂν ποιῶν χαρίσαιτο,
οὐδὲ ὃ αὐτὸς ὑπέσχετο.
Δηλονότι γὰρ ἤδει τοῦτο,
εἴπερ
μὴ ἐφενάκιζεν.
Ἀλλὰ μήν,
ὅτι ἔγραψε
τότε ταῦτα οὕτω,
λέγε μοι τοῦτο αὐτό,
ἐνθένδε, λαβὼν ἐξ ἐπιστολῆς
τῆς προτέρας. Λέγε.

affirme ne pas savoir
quoi faisant il *vous* obligerait,
ni *ce* que lui-même promit.
Il est évident qu'il savait cela
si-toutefois [rences.
il ne trompait-par-de-fausses-appa-
D'ailleurs,
pour prouver qu'il écrivit
alors ces choses ainsi,
lis-moi ce *passage* même,
à partir d'ici, *le* prenant de la lettre
la première. Lis.

ΕΞ ΕΠΙΣΤΟΛΗΣ.

Οὐκοῦν,
πρὶν μὲν τυχεῖν εἰρήνης,
ὡμολόγει γράψειν
ἡλίκα
ποιήσει εὖ
τὴν πόλιν,
εἰ καὶ συμμαχία
προσγένοιτο αὐτῷ
ἐπειδὴ δὲ ἀμφότερα
γέγονεν αὐτῷ,
φησὶν οὐκ εἰδέναι
τί ἂν ποιῶν χαρίσαιτο·
ἐὰν δὲ ὑμεῖς λέγητε,
ποιήσειν
ὃ φέρει αὐτῷ
μήτε αἰσχύνην μήτε ἀδοξίαν,
καταφεύγων
εἰς ταύτας τὰς προφάσεις,
καὶ καταλείπων ἑαυτῷ
ἀναχώρησιν,
ἂν ἄρα
ὑμεῖς εἴπητέ τι,
καὶ προαχθῆτε
ἐπαγγείλασθαι.
Ἐνῆν τοίνυν ἐξελέγχειν
παραχρῆμα τότε εὐθὺς

EXTRAIT DE LA LETTRE.

Donc,
avant d'avoir obtenu la paix,
Philippe convenait *qu'*il écrirait
en quelles-grandes-choses
il fera bien (du bien)
à la République,
si aussi l'alliance
y était-ajoutée pour lui ;
mais, après que toutes-deux
ont été à lui,
il affirme ne pas savoir
quoi faisant il *vous* obligerait ;
et si-par-hasard vous *le lui* dites,
il répond devoir faire (qu'il fera)
ce qui *n'*apporte à lui
ni honte ni déshonneur,
se réfugiant
dans ces prétextes,
et laissant à lui-même
une retraite,
si par hasard
vous avez exprimé quelque chose,
et *si* vous avez été poussés
à témoigner-un-désir.
Or, il était-possible de réfuter
sur-le-champ dès-lors aussitôt

ἐξελέγχειν, καὶ διδάσκειν ὑμᾶς, καὶ μὴ προΐεσθαι τὰ πράγματ' ἐᾶν, εἰ μὴ Θεσπιαὶ καὶ Πλαταιαί, καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην, ἀφείλετο τὴν ἀλήθειαν. Καίτοι ταῦτα, εἰ μὲν ἀκοῦσαι μόνον ἔδει καὶ φενακισθῆναι τὴν πόλιν[1], ὀρθῶς ἐλέγετο· εἰ δὲ πραχθῆναι τῷ ὄντι, σιωπᾶσθαι συνέφερεν. Εἰ μὲν γὰρ ἐνταῦθ' ἦν ἤδη τὰ πράγματα, ὥστε μηδ' αἰσθομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδέν, τί οὐ γέγονεν; εἰ δὲ παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; Ἀλλ' οὔτ' ἤμελλεν, οὔτ' ἠβουλήθη ταῦτ', οὔτ' ἤλπισεν οὗτος[2]. Ὥστε τοῦ γ' ἐκλελαληκέναι μηδ' αἰτίαν ἐχέτω· ἀλλὰ φενακισθῆναι τοῖς

démasquées; il était possible alors de vous éclairer, de vous empêcher de laisser les affaires à l'abandon, si Thespies et Platée, si Thèbes qu'on allait, disait-on, punir, ne vous eussent dérobé la vérité. Toutefois, que voulait-on? faire entendre seulement ces noms à la République pour l'abuser? on avait raison de parler; agir réellement? il importait de se taire. En effet, si, dans leur position, les Thébains ne gagnaient rien à prévoir l'orage, pourquoi n'a-t-il pas éclaté? S'ils ne l'ont conjuré que pour l'avoir prévu, où est le révélateur? n'est-ce pas Eschine? Mais il n'en devait pas être ainsi; Eschine ne le voulait ni ne l'espérait. Ne l'accusons donc pas d'in-

ταῦτα καὶ πολλὰ ἕτερα,
καὶ διδάσκειν ὑμᾶς,
καὶ μὴ ἐᾷν
προΐεσθαι τὰ πράγματα,
εἰ μὴ Θεσπιαὶ
καὶ Πλαταιαί,
καὶ τὸ Θηβαίους
δώσειν δίκην
αὐτίκα δὴ μάλα,
ἀφείλετο τὴν ἀλήθειαν.
Καίτοι, εἰ μὲν ἔδει μόνον
τὴν πόλιν
ἀκοῦσαι
καὶ φενακισθῆναι,
ταῦτα ἐλέγετο ὀρθῶς·
εἰ δὲ
πραχθῆναι
τῷ ὄντι,
συνέφερε σιωπᾶσθαι.
Εἰ μὲν γὰρ τὰ πράγματα
ἦν ἤδη ἐνταῦθα
ὥςτε μηδὲν εἶναι
πλέον
τοῖς Θηβαίοις
μηδὲ αἰσθομένοις,
τί
οὐ γέγονεν;
εἰ δὲ κεκώλυται
παρὰ τὸ προαισθέσθαι,
τίς
ὁ ἐκλαλήσας;
οὐχ οὗτος;
Ἀλλὰ οὗτος
οὔτε ἤμελλεν,
οὔτε ἠβουλήθη ταῦτα,
οὔτε ἤλπισεν.
Ὥςτε
μηδὲ ἐχέτω αἰτίαν
τοῦ γε ἐκλελαληκέναι·
ἀλλὰ ἔδει

ces choses et beaucoup d'autres,
et d'instruire vous,
et de ne pas laisser
abandonner les affaires,
si Thespies
et Platée, *qu'on devait rebâtir*,
et *la promesse que* les Thébains
devoir donner justice (seraient punis)
très-promptement,
n'eussent dérobé la vérité.
Toutefois, s'il fallait seulement
la République
entendre *ces promesses* [parences,
et être trompée-par-de-fausses-ap-
ces choses étaient dites bien;
mais s'*il fallait* [cutées
que ces promesses être (fussent) exé-
réellement,
il importait de se taire.
Si, en effet, les affaires
en étaient déjà au-point
que rien n'être
de plus (qu'il n'y eût rien à gagner)
pour les Thébains
pas même s'apercevant *du résultat*,
pourquoi *ce résultat*
n'est-il pas arrivé?
si, au contraire, il a été empêché
par l'*avantage de l'*avoir pressenti,
quel *est*
celui qui a parlé-indiscrètement?
n'*est-ce* pas cet *homme*-ci (Eschine)?
Mais cet *homme*
ni ne devait *faire cela*,
ni ne voulut ces choses,
ni ne *les* espéra.
Si-bien-que (ainsi) [pas accusé)
qu'il n'ait pas l'accusation (ne soit
du moins d'avoir parlé-indiscrète-
mais il fallait [ment;

λόγοις τούτοις ὑμᾶς ἔδει, καὶ ἐμοῦ τἀληθῆ μὴ ἐθελῆσαι ἀκοῦσαι, καὶ αὐτοὺς οἴκοι καταμεῖναι, καὶ ψήφισμα νικῆσαι τοιοῦτο, δι' οὗ Φωκεῖς ἀπολοῦνται. Διὰ ταῦτ' ἐσπαθᾶτο ταῦτα, καὶ διὰ ταῦτ' ἐδημηγορεῖτο.

Ἀκούων τοίνυν ἐγὼ τηλικαῦτα καὶ τοιαῦτ' ἐπαγγελλομένου τούτου, καὶ ἀκριβῶς εἰδὼς ὅτι ψεύδεται (καὶ ὅθεν, φράσω πρὸς ὑμᾶς· πρῶτον μὲν ἐκ τοῦ, ὅτε τοὺς ὅρκους ἤμελλε Φίλιππος ὀμνύναι τοὺς περὶ τῆς εἰρήνης, ἐκσπόνδους ἀποφανθῆναι τοὺς Φωκέας ὑπὸ τούτων, ὃ σιωπᾷν καὶ ἐᾷν εἰκὸς ἦν, εἴπερ ἤμελλοι σώζεσθαι· ἔπειτ' ἐκ τοῦ μὴ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ταῦτα λέγειν, μηδὲ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἀλλὰ τοῦτον)· ἐκ τούτων οὖν τεκμαιρόμενος, ἀναστὰς καὶ παρελθών, ἐπειρώ-

discrétion. Vous duper par un langage de jongleur, vous faire repousser la vérité que je présentais, vous retenir dans vos murs, et assurer le triomphe d'un décret de mort contre la Phocide, voilà quel était son but; de là tant de trames ourdies, de là ses perfides harangues.

Auditeur des pompeuses promesses de ce député, je savais parfaitement qu'il mentait : comment le savais-je? le voici. D'abord, quand le prince allait jurer la paix, nos traîtres désignèrent la Phocide comme exclue du traité, article qu'il fallait omettre si l'on voulait la sauver; ensuite, ce n'étaient ni des ambassadeurs de Philippe, ni la lettre de Philippe, qui tenaient ce langage, c'était Eschine. Guidé

ὑμᾶς φενακισθῆναι
τοῖς λόγοις τούτοις,
καὶ μὴ ἐθελῆσαι
ἀκοῦσαι τὰ ἀληθῆ ἐμοῦ,
καὶ αὐτοὺς
καταμεῖναι οἴκοι,
καὶ ψήφισμα νικῆσαι
τοιοῦτο, διὰ οὗ
Φωκεῖς
ἀπολοῦνται.
Διὰ ταῦτα
ταῦτα ἐσπαθᾶτο,
καὶ διὰ ταῦτα
ἐδημηγορεῖτο.
Ἐγὼ τοίνυν ἀκούων
τούτου ἐπαγγελλομένου
τηλικαῦτα καὶ τοιαῦτα,
καὶ εἰδὼς ἀκριβῶς ὅτι ψεύδεται
— καὶ ὅθεν,
φράσω πρὸς ὑμᾶς·
πρῶτον μὲν ἐκ τοῦ
τοὺς Φωκέας ἀποφανθῆναι
ὑπὸ τούτων
ἐκσπόνδους,
ὅτε Φίλιππος ἤμελλεν
ὀμνύναι τοὺς ὅρκους
τοὺς περὶ τῆς εἰρήνης,
ὃ ἦν εἰκὸς
σιωπᾷν
καὶ ἐᾶν,
εἴπερ ἤμελλον
σώζεσθαι·
ἔπειτα ἐκ τοῦ
μὴ πρέσβεις
τοὺς παρὰ τοῦ Φιλίππου,
μηδὲ τὴν ἐπιστολὴν
τὴν τοῦ Φιλίππου
λέγειν ταῦτα,
ἀλλὰ τοῦτον·—
τεκμαιρόμενος οὖν

que vous fussiez trompés
par ces harangues-là,
et *que* vous ne voulussiez pas
entendre la vérité de moi,
et *que* vous-mêmes
vous restassiez chez-vous,
et *qu'*un décret vainquît (fût rendu,
tel, par lequel (tel que, par son exécu-
les Phocidiens [tion)
seront détruits.
Pour ces *motifs*
ces *trames* étaient ourdies,
et pour ces *motifs*
ces harangues-étaient-prononcées.
Moi donc entendant
lui (Eschine) qui promettait
choses si-considérables et telles,
et sachant avec-certitude qu'il ment
— et d'où? (et comment le savais-je?)
je *le* dirai à vous :
je le savais d'abord par ceci *que*
les Phocidiens avoir été déclarés
par eux (par les députés)
exclus-des-traités,
lorsque Philippe devait-bientôt
jurer les serments
ceux concernant la paix,
exclusion qu'il était convenable
de taire
et de laisser-de-côté,
si *les Phocidiens* devaient
être sauvés ;
je le savais ensuite par ceci *que*
non pas des ambassadeurs
de Philippe,
ni la lettre
celle de Philippe
dire (disaient) cela,
mais *bien Eschine*, que-voici ; —
conjecturant donc

μην μὲν ἀντιλέγειν· ὡς δ' ἀκούειν οὐκ ἠθέλετε, ἡσυχίαν ἔσχον, τοσοῦτο μόνον διαμαρτυράμενος (καὶ πρὸς Διὸς καὶ θεῶν ἀναμιμνήσκεσθε), ὅτι ταῦτ' οὔτ' οἶδα, οὔτε κοινωνῶ. Προσέθηκα δέ, ὡς οὐδὲ προσδοκῶ. Τραχέως δ' ὑμῶν ἐπὶ τῷ μηδὲ προσδοκᾶν σχόντων, « καὶ ὅπως γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἔφην, ἄν τι τούτων γίγνηται, τούτους μὲν ἐπαινέσεσθε καὶ τιμήσετε καὶ στεφανώσετε· ἐμὲ δὲ μή· καὶ μέντοι κἄν τι τῶν ἐναντίων, ὅπως τούτοις ὀργιεῖσθε· ἐγὼ δ' ἀφίσταμαι. » « Μὴ νῦν, ὑπολαβὼν ἔφη Αἰσχίνης οὑτοσί, μὴ νῦν ἀφίστασο· ἀλλ' ὅπως τότε μὴ προποιήσει. » « Νὴ Δία, ἀδικήσω γε, » ἔφην. Ἐπαναστὰς δ' ὁ Φιλοκρά-

par ces inductions, je courus à tribune, j'essayai de vous détromper. Sur votre refus de m'entendre, je m'arrêtai, me bornant à protester que tout cela m'était inconnu (au nom du ciel, rappelez-vous le fait), que je n'y avais aucune part; j'ajoutai même que je ne l'espérais point. Ne pas l'espérer! vous étiez furieux. « Eh bien! Athéniens, vous dis-je, s'il se réalise une seule de ces promesses, aux députés vos éloges, à eux vos récompenses, à eux vos couronnes, et rien pour moi! S'il arrive tout le contraire, qu'ils soient l'objet de votre courroux : moi, je me retire. — Pas si vite, reprit Eschine, encore un moment! Du moins, ne va plus t'attribuer les succès de tes collègues. — Non, par Jupiter! répondis-je, ce serait trop d'injustice. » Philocrate, se levant après moi, prononce ces impertinentes

ἐκ τούτων,
ἀναστὰς
καὶ παρελθών,
ἐπειρώμην μὲν
ἀντιλέγειν·
ὡς δὲ οὐκ ἠθέλετε
ἀκούειν,
ἔσχον ἡσυχίαν,
διαμαρτυράμενος τοσοῦτο μόνον
(καὶ πρὸς Διὸς καὶ θεῶν
ἀναμιμνήσκεσθε),
ὅτι οὔτε οἶδα ταῦτα,
οὔτε κοινωνῶ.
Προσέθηκα δέ,
ὡς οὐδὲ προσδοκῶ.
Ὑμῶν δὲ σχόντων τραχέως
ἐπὶ τῷ μηδὲ προσδοκᾶν,
« ὦ ἄνδρες Ἀθηναῖοι, ἔφην,
ἄν τι τούτων γίγνηται,
καὶ ὅπως γε
ἐπαινέσεσθε μὲν
καὶ τιμήσετε
καὶ στεφανώσετε τούτους·
ἐμὲ δὲ μή·
καὶ μέντοι,
καὶ ἄν τι
τῶν ἐναντίων,
ὅπως ὀργιεῖσθε
τούτοις·
ἐγὼ δὲ ἀφίσταμαι. »
« Μὴ νῦν,
ἔφη ὑπολαβὼν
Αἰσχίνης οὑτοσί,
μὴ ἀφίστασο νῦν·
ἀλλὰ ὅπως
μὴ προσποιήσει
τότε. »
« Νὴ Δία, ἔφην,
ἀδικήσω γε. »
Ὁ δὲ Φιλοκράτης

d'après ces *circonstances*,
m'étant levé
et m'étant approché *de la tribune*,
je m'efforçai [*chine* :
de contredire *les promesses d'Es-*
mais, comme vous ne vouliez point
écouter,
j'eus tranquillité (me tins tranquille),
protestant ceci seulement
(et, par Jupiter et les dieux,
rappelez-vos-souvenirs),
que et je ne sais point ces choses,
et je n'*y* participe point.
J'ajoutai aussi,
que je ne m'*y* attends point.
Or, vous étant-disposés rudement
au sujet de ne pas m'*y* attendre,
« ô hommes Athéniens, dis-je,
si quelqu'une de ces choses arrive,
avisez à-ce-que du moins
vous louiez
et récompensiez-honorablement
et couronniez ceux-ci (les députés);
et moi non;
et cependant,
s'*il arrive* quelqu'une
des choses contraires,
avisez à-ce-que vous sévissiez
contre eux :
pour moi, je me retire. »
« Pas maintenant!
dit en répliquant
Eschine ici-présent,
ne te retire pas maintenant;
du moins *avise* à-ce-que
tu ne t'arroges pas *le résultat*
lorsqu'*il arrivera*. »
« Non, par Jupiter! dis-je,
ou du moins je *te* ferai-tort. »
Philocrate, de son côté,

της μάλ' ὑβριστικῶς· « Οὐδέν, ἔφη, θαυμαστόν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ταὐτὰ ἐμοὶ καὶ Δημοσθένει δοκεῖν· οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δ' οἶνον πίνω[1]. » Καὶ ὑμεῖς ἐγελᾶτε. Σκέψασθε δὲ τὸ ψήφισμα, ὃ δίδωσι γράψας μετὰ ταῦθ' ὁ Φιλοκράτης· ἀκοῦσαι μὲν γὰρ οὑτωσί, παγκάλως ἔχει. Ἐπειδὰν δὲ τοὺς καιροὺς συλλογίσηταί τις, ἐφ' ὧν ἐγράψη, καὶ τὰς ὑποσχέσεις ἃς οὗτος ὑπισχνεῖτο τότε, οὐδὲν ἄλλο φανήσονται, πλὴν παραδόντες Φιλίππῳ καὶ Θηβαίοις Φωκέας, μόνον οὐχ ὀπίσω τῷ χεῖρε δήσαντες. Λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ψήφισμα, ὅσων ἐπαίνων καὶ ὅσης εὐφημίας μεστόν ἐστι, καὶ τὴν εἰρήνην εἶναι τὴν αὐτήν, ἥνπερ Φιλίππῳ, καὶ τοῖς ἐκγόνοις, καὶ τὴν συμμαχίαν· καὶ

paroles : « Belle merveille, Athéniens, si Démosthène et moi nous ne pensons pas de même : il boit de l'eau, je bois du vin. » Et vous, de rire ; mais considérez le décret que Philocrate présenta ensuite. A la simple lecture, il n'est rien de mieux : cependant, que l'on rapproche les circonstances où il le porta des promesses qu'étalait l'accusé à la même époque, on verra qu'ils n'ont guère fait que livrer à Philippe et aux Thébains la Phocide, pieds et poings liés. — Lis le décret.

DÉCRET.

Vous voyez, ô Athéniens, comme surabondent ici l'éloge et les séduisantes paroles. « La paix et l'alliance conclues avec Philippe sont stipulées aussi pour les descendants ; Philippe sera remercié d'avoir

ἐπαναστὰς	s'étant-levé-ensuite *pour parler*
μάλα ὑβριστικῶς·	très-impertinemment :
« Ὦ ἄνδρες Ἀθηναῖοι, ἔφη,	« O hommes Athéniens, dit-il,
τὰ αὐτὰ	les mêmes *opinions*
μὴ δοκεῖν	ne pas sembler *bonnes*
ἐμοὶ καὶ Δημοσθένει,	à moi et à Démosthène
οὐδὲν θαυμαστόν·	*n'est* en rien chose étonnante :
οὗτος μὲν γὰρ ὕδωρ,	car lui, *il boit* de l'eau,
ἐγὼ δὲ πίνω οἶνον. »	et moi, je bois du vin. »
Καὶ ὑμεῖς ἐγελᾶτε.	Et vous, *vous* riiez.
Σκέψασθε δὲ τὸ ψήφισμα,	Mais examinez le décret,
ὃ γράψας	lequel ayant rédigé
ὁ Φιλοκράτης δίδωσι μετὰ ταῦτα·	Philocrate présente après cela :
ἔχει γὰρ παγκάλως,	car il est tout-à-fait-bien,
ἀκοῦσαι μὲν οὕτωσί.	à *l'*entendre ainsi (à la lecture).
Ἐπειδὰν δέ τις	Mais lorsque quelqu'un
συλλογίσηται	aura rapproché-par-le-raisonnement
τοὺς καιροὺς ἐπὶ ὧν ἐγράφη,	les circonstances où il fut rédigé,
καὶ τὰς ὑποσχέσεις	et les promesses
ἃς οὗτος ὑπισχνεῖτο τότε,	que cet *homme* promettait alors,
φανήσονται	*les députés* paraîtront
οὐδὲν ἄλλο,	*n'avoir fait* rien autre chose,
πλὴν παραδόντες	qu'ayant livré (que de livrer)
Φιλίππῳ καὶ Θηβαίοις	à Philippe et aux Thébains
Φωκέας,	les Phocidiens, [peu s'en faut)
μόνον οὐ δήσαντες	seulement n'ayant pas lié (ayant lié,
τῷ χεῖρε ὀπίσω.	les mains par-derrière.
Λέγε τὸ ψήφισμα.	Lis le décret.

ΨΗΦΙΣΜΑ.

Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι,
τὸ ψήφισμα, ὅσων ἐπαίνων
καὶ ὅσης εὐφημίας
ἐστὶ μεστόν,
καὶ τὴν εἰρήνην
τὴν αὐτήν,
καὶ τὴν συμμαχίαν,
ἥνπερ Φιλίππῳ,
εἶναι καὶ
τοῖς ἐκγόνοις·

DÉCRET.

Vous voyez, ô hommes Athéniens,
le décret, de quels-grands éloges
et de quelle-grande adresse-de-langage
il est rempli,
et *vous y voyez que* la paix
la même (aux mêmes conditions),
et l'alliance,
qui *subsistent* pour Philippe,
être (subsistent) aussi
pour les descendants ;

ἐπαινέσαι δὲ **Φ**ίλιππον, ὅτι ἐπαγγέλλεται τὰ δίκαια ποιήσειν. Ἀλλ' οὐδὲν ἐκεῖνός γ' ἐπηγγέλλετο· ἀλλὰ τοσούτου ἔδει ἐπαγγέλλεσθαι, ὥςτ' οὐδ' εἰδέναι φησί, τί ἂν ποιῶν ὑμῖν χαρίσαιτο. Ἀλλ' οὗτος ἦν ὁ λέγων ὑπὲρ αὐτοῦ καὶ ὑπισχνούμενος. **Π**ρὸς δὲ τοὺς παρὰ τούτου λόγους ὡρμηκότας λαβὼν ὑμᾶς ὁ **Φ**ιλοκράτης, ἐγγράφει τοῦτ' εἰς τὸ ψήφισμα· « ἐὰν δὲ μὴ ποιῶσι **Φ**ωκεῖς ἃ δεῖ, καὶ παραδιδῶσι τοῖς Ἀμφικτύοσι τὸ ἱερόν, ὅτι βοηθήσει ὁ δῆμος ὁ Ἀθηναίων ἐπὶ τοὺς διακωλύοντας ταῦτα γίγνεσθαι. » **Ο**ὐκοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, μενόντων μὲν ὑμῶν οἴκοι καὶ οὐκ ἐξεληλυθότων, ἀπεληλυθότων δὲ τῶν **Λ**ακεδαιμονίων καὶ προησθημένων τὴν ἀπάτην, οὐδενὸς δ' ἄλλου παρόντος τῶν Ἀμφικτυόνων, πλὴν **Θ**εσσαλῶν καὶ **Θ**ηβαίων, εὐφημότατ' ἀνθρώπων τούτοις παραδοῦναι γέγραφε τὸ ἱερόν, γράψας τοῖς Ἀμφικτύοσι παρα-

promis de nous satisfaire. » Non, il n'avait rien promis! il était si éloigné de promettre, qu'il mande ne pas savoir en quoi il pourrait vous obliger. C'est Eschine qui, pour lui, avait parlé, avait promis. Vous vous étiez précipités au-devant de ses paroles : alors Philocrate vous surprit, et inséra cette clause dans son décret : « Si les Phocidiens n'exécutent ce qu'il faut, s'ils ne livrent le temple aux Amphictyons, le peuple d'Athènes fera marcher des troupes contre les opposants. » Ainsi, Athéniens, tranquilles dans vos foyers, vous ne vous transportiez pas sur les lieux; les Lacédémoniens, sentant le piége, s'étaient retirés; aucun peuple amphictyonique n'était présent, excepté les Thessaliens et les Thébains : et, dans les termes le plus noblement perfides, Philocrate livre le temple à ces derniers en pro-

ιαὶ ἐπαινέσαι δὲ Φίλιππον,
ὅτι ἐπαγγέλλεται
ποιήσειν
ὰ δίκαια.
Ἀλλὰ ἐκεῖνός γε
πηγγέλλετο οὐδέν·
Ἀλλὰ ἔδει τοσούτου
παγγέλλεσθαι,
ὥστε φησὶν οὐδὲ εἰδέναι,
ἵ ἂν ποιῶν χαρίσαιτο ὑμῖν.
Ἀλλὰ οὗτος
ἦν ὁ λέγων
καὶ ὑπισχνούμενος ὑπὲρ αὐτοῦ.
Ὁ δὲ Φιλοκράτης λαβὼν
ὑμᾶς ὡρμηκότας
πρὸς λόγους

et remercier (et qu'on y remercie)
de ce qu'il promet [Philippe
devoir faire (qu'il fera)
les choses justes.
Mais celui-ci certes
ne promettait rien ;
et au contraire il s'en fallait tant
de promettre (qu'il promît),
qu'il dit ne pas même savoir
quoi faisant il obligerait vous.
Mais cet *homme* (Eschine)
était celui qui parlait
et qui promettait pour lui.
Philocrate, d'autre part, ayant saisi
vous élancés (écoutant avidement)
vers les discours (les discours)

τοὺς παρὰ τούτου,
ἐγγράφει τοῦτο εἰς τὸ ψήφισμα·
ὅτι, « ἐὰν δὲ Φωκεῖς μὴ ποιῶσιν
ἃ δεῖ,
καὶ παραδιδῶσι τὸ ἱερὸν
τοῖς Ἀμφικτύοσιν,
ὁ δῆμος ὁ Ἀθηναίων
βοηθήσει
ἐπὶ τοὺς διακωλύοντας
ταῦτα γίγνεσθαι. »
Οὐκοῦν, ὦ ἄνδρες Ἀθηναῖοι,
ὑμῶν μὲν μενόντων οἴκοι
καὶ οὐκ ἐξεληλυθότων,
τῶν δὲ Λακεδαιμονίων
ἀπεληλυθότων,
καὶ προησθημένων τὴν ἀπάτην,
οὐδενὸς δὲ ἄλλου
τῶν Ἀμφικτυόνων
παρόντος,
πλὴν Θετταλῶν καὶ Θηβαίων,
ἔγραφεν
εὐφημότατα
ἀνθρώπων
παραδοῦναι τὸ ἱερὸν

de celui-ci (d'Eschine),
inscrit ceci dans le décret :
que, « si les Phocidiens ne font pas
ce qu'il faut,
et s'ils ne livrent le temple
aux Amphictyons,
le peuple des Athéniens
enverra-des-troupes
contre ceux qui empêchent
ces choses de s'exécuter. »
Donc, ô hommes Athéniens,
vous, d'une part, restant à la maison
et n'étant pas sortis *en armes*
d'autre part, les Lacédémoniens
s'étant retirés,
et ayant pressenti la tromperie,
et aucun autre
des Amphictyons
n'étant présent,
excepté Thessaliens et Thébains,
Philocrate écrivit *dans le décret*
avec-le-langage-le-plus-adroit
des hommes (que l'homme puisse em-
de livrer le temple [ployer),

δοῦναι (ποίοις; οὐ γὰρ ἦσαν αὐτόθι, πλὴν Θηβαῖοι καὶ Θετταλοί), ἀλλ' οὐ, συγκαλέσαι δὲ τοὺς Ἀμφικτύονας, οὐδ' ἐπισχεῖν ἕως ἂν συλλεγῶσιν, οὐδὲ βοηθεῖν Πρόξενον[1] εἰς Φωκέας, οὐδ' ἐξιέναι Ἀθηναίους, οὐδὲ τοιοῦτ' οὐδέν. Καίτοι καὶ ἐπιστολὰς ἔπεμψεν ὁ Φίλιππος δύο καλούσας ὑμᾶς, οὐχ ἵν' ἐξέλθοιτε· πώμαλα[2]· οὐ γὰρ ἄν ποτε τοὺς χρόνους ἀνελών, ἐν οἷς ἠδυνήθητ' ἂν ἐξελθεῖν, τηνικαῦτ' ἐκάλει· οὐδ' ἂν ἐμέ, ἡνίκα δεῦρ' ἀποπλεῖν ἠβουλόμην, κατεκώλυεν· οὐδὲ τοιαῦτα λέγειν τούτῳ προσέταττεν, ἐξ ὧν ἥκιστ' ὑμεῖς ἠμέλλετ' ἐξιέναι. Ἀλλ' ἵνα, ἃ ἠβούλεσθε, οἰόposant de le livrer aux Amphictyons; à quels Amphictyons, en effet? Thèbes et la Thessalie étaient seules représentées. Du reste, nul ordre de convoquer la diète fédérale, d'attendre qu'elle soit assemblée, d'envoyer Proxénos au secours de la Phocide, de faire marcher les Athéniens; non, rien de semblable. Philippe, cependant, vous a écrit deux lettres d'invitation. Mais voulait-il que vous vinssiez? pas du tout. Autrement, avant de vous appeler, il ne vous eût pas privés du moment où vous auriez pu partir; il ne m'eût point retenu lorsque je voulais m'embarquer pour la Phocide; il n'eût pas enjoint à l'accusé de vous amuser des discours les plus propres à enchaîner vos pas. Mais il voulait que, persuadés qu'il agirait selon vos désirs,

τούτοις,	à eux (Thessaliens et Thébains),
γράψας	ayant écrit (par cela même qu'il avait
παραδοῦναι τοῖς Ἀμφικτύοσι	de *le* livrer aux Amphictyons [écrit)
(ποίοις;	(*et* à quels *Amphictyons ?*
οὐ γὰρ ἦσαν αὐτόθι,	car il n'*y* en avait point là,
πλὴν Θηβαῖοι καὶ Θετταλοί),	hormis Thébains et Thessaliens),
ἀλλὰ οὐ,	mais *il* n'*écrivit* pas
συγκαλέσαι δὲ	de convoquer
τοὺς Ἀμφικτύονας,	les Amphictyons,
οὐδὲ ἐπισχεῖν	ni d'attendre
ἕως ἂν συλλεγῶσιν,	jusqu'à ce qu'ils fussent réunis,
οὐδὲ βοηθεῖν	ni d'envoyer-comme-secours
Πρόξενον	Proxénos
εἰς Φωκέας,	chez les Phocidiens,
οὐδὲ Ἀθηναίους	ni *que* les Athéniens
ἐξιέναι,	se-missent-en-campagne,
οὐδὲ οὐδὲν τοιοῦτο.	ni rien *de* pareil.
Καίτοι ὁ Φίλιππος	Cependant Philippe
καὶ ἔπεμψε δύο ἐπιστολὰς	envoya encore deux lettres
καλούσας ὑμᾶς,	invitant vous,
οὐχ	non *réellement*
ἵνα ἐξέλθοιτε·	afin que vous sortissiez :
πώμαλα·	ah bien, oui !
οὐ γάρ ποτε	car jamais
ἂν ἐκάλει	il ne *vous* y aurait invités
τηνικαῦτα,	alors, [bé)
ἀνελὼν	ayant dérobé (après vous avoir déro-
τοὺς χρόνους ἐν οἷς	les moments dans lesquels
ἠδυνήθητε ἂν ἐξελθεῖν·	vous auriez pu sortir ;
οὐδὲ ἂν κατεκώλυεν ἐμέ,	il n'aurait pas empêché moi
ἡνίκα ἠβουλόμην	lorsque je voulais
ἀποπλεῖν δεῦρο·	naviguer là (aller en Phocide) ;
οὐδὲ προσέταττε	il n'aurait pas ordonné
τούτῳ	à cet *homme* (à Eschine)
λέγειν τοιαῦτα,	de dire des choses telles,
ἐξ ὧν	par lesquelles (par l'effet desquelles)
ὑμεῖς ἠμέλλετε ἥκιστα ἐξιέναι.	vous ne deviez nullement sortir.
Ἀλλὰ	Mais *Philippe vous envoya deux*
ἵνα,	afin que, [*lettres*
οἰόμενοι αὐτὸν πράξειν	pensant lui devoir faire (qu'il ferait)

μενοι πράξειν αὐτόν, μηδὲν ἐναντίον ψηφίσαισθ' αὐτῷ, μηδ' ἀμύνοιντο μηδ' ἀντέχοιεν οἱ Φωκεῖς ἐπὶ ταῖς παρ' ὑμῶν ἐπανέχοντες ἐλπίσιν, ἀλλ' ἀπογνόντες ἅπαντα, ἑαυτοὺς ἐγχειρίσαιεν. Λέγε δ' αὐτοῖς αὐτὰς τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΑΙ.

Αἱ μὲν τοίνυν ἐπιστολαὶ καλοῦσιν αὖται, καί, νὴ Δία, ἤδη γε. Τούτοις δ', εἴπερ ἦν ὑγιές τι τούτων, τί ἄλλο προσῆκεν, ἢ συνειπεῖν, ὅπως ἐξέλθοιθ' ὑμεῖς, καὶ τὸν Πρόξενον, ὃν περὶ τοὺς τόπους ἤδεσαν ὄντα, γράφειν εὐθέως βοηθεῖν; Πάντα τοίνυν τἀναντία τούτων φαίνονται πεποιηκότες· εἰκότως· οὐ γὰρ οἷς ἐπέστελλε προσεῖχον τὸν νοῦν, ἀλλ' ἃ φρονῶν ταῦτ' ἔγραφε συνήvous ne prissiez aucune décision pour lui résister; il voulait que la Phocide, endormie par son espoir en vous, n'opposât aucune défense, et qu'enfin, désespérée, elle se livrât elle-même entre ses mains. — Lis les lettres de Philippe.

LETTRES.

Ces lettres, dans leur teneur, nous invitent à venir, à venir sur-le-champ. Pour peu qu'elles fussent sincères, quel était le devoir des députés? N'était-ce pas de les appuyer, pour faire sortir vos troupes? N'était-ce pas de proposer que Proxénos, qu'ils savaient peu éloigné de la Phocide, volât à son secours? Eh bien! ils ont fait évidemment tout le contraire. N'en soyez pas étonnés : peu attentifs au texte de ces lettres, ils connaissaient à fond les désirs du prince qui les écri-

ἃ ἠβούλεσθε,
ψηφίσαισθε μηδὲν
ἐναντίον αὐτῷ,
μηδὲ οἱ Φωκεις
ἀμύνοιντο
μηδὲ ἀντέχοιεν,
ἐπανέχοντες ἐπὶ ἐλπίσι
ταῖς παρὰ ὑμῶν,
ἀλλά, ἀπογνόντες ἅπαντα,
ἐγχειρίσαιεν
ἑαυτούς.
Λέγε δὲ αὐτοῖς
αὐτὰς τὰς ἐπιστολάς,
τὰς τοῦ Φιλίππου.

ce que vous vouliez,
vous ne décrétassiez rien
de contraire à lui,
afin que les Phocidiens
ne se défendissent point
et ne résistassent point,
se-reposant sur les espérances
celles *venant* de vous,
mais *que*, désespérant de tout,
il *se* livrassent-aux-mains-de *l'enne-*
eux-mêmes. [*mi*
Lis-leur
ces lettres,
celles de Philippe.

ΕΠΙΣΤΟΛΑΙ. LETTRES.

Αἱ μὲν τοίνυν ἐπιστολαὶ
αὗται
καλοῦσι,
καὶ ἤδη γε, νὴ Δία,
Εἴπερ δέ τι τούτων
ἦν ὑγιές,
τί ἄλλο
προσῆκε τούτοις,
ἢ συνειπεῖν,
ὅπως ὑμεῖς ἐξέλθοιτε,
καὶ γράφειν τὸν Πρόξενον,
ὃν ἤδεσαν ὄντα
περὶ τοὺς τόπους,
βοηθεῖν
εὐθέως;
Φαίνονται τοίνυν
πεποιηκότες
πάντα τὰ ἐναντία τούτων·
εἰκότως·
οὐ γὰρ προσεῖχον τὸν νοῦν
οἷς ἀπέστελλεν,
ἀλλὰ συνήδεσαν
ἃ φρονῶν
ἔγραφε ταῦτα.

Donc, d'une part, les lettres
celles-ci
appellent *vous*,
et même à l'instant, par Jupiter!
Mais, si quelque chose d'elles
était sain (sincère),
quelle autre chose
convenait-il à ceux-ci *de faire*,
que de parler-dans-le-même-sens,
afin que vous sortissiez,
et d'écrire *que* Proxénos,
lequel ils savaient étant
dans-les-environs de *ces* lieux,
vînt-au-secours *des Phocidiens*
aussitôt?
Or ils paraissent-évidemment
ayant fait
toutes choses contraires à celles-là;
et d'une-manière-vraisemblable:
car ils n'appliquaient pas *leur* esprit
aux choses que *Philippe* mandait,
mais ils savaient-intimement
quoi pensant (dans quelle intention
il écrivait ces choses. [réelle)

δεσαν. Τούτοις οὖν συνέπραττον, καὶ τούτοις συνηγωνίζοντο. Οἱ μὲν τοίνυν Φωκεῖς, ὡς τὰ παρ' ὑμῶν ἐπύθοντ' ἐκ τῆς ἐκκλησίας, καὶ τό τε ψήφισμα τοῦτ' ἔλαβον τὸ τοῦ Φιλοκράτους, καὶ τὴν ἀπαγγελίαν ἐπύθοντο τὴν τούτου καὶ τὰς ὑποσχέσεις, κατὰ πάντας τοὺς τρόπους ἀπώλοντο. Σκοπεῖτε γάρ. Ἦσαν ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ, καὶ νοῦν ἔχοντες· οὗτοι πιστεύειν ὑπήχθησαν. Διὰ τί; ὅτι ἡγοῦντο, οὐδ' εἰ δεκάκις Φίλιππος αὐτοὺς ἐξηπάτα, οὐδέποτ' ἂν τούς γ' Ἀθηναίων πρέσβεις Ἀθηναίους ἐξαπατᾷν τολμῆσαι· ἀλλ' εἶναι ταῦτ' ἀληθῆ, ἃ οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς· καὶ τοῖς Θηβαίοις ἥκειν, οὐχ αὑτοῖς, ὄλεθρον. Ἦσαν ἄλλοι τινές, οἳ πάσχειν ὁτιοῦν καὶ ἀμύνεσθαι

vait : c'est là qu'ils apportaient et leur appui et le concours de leurs efforts. Aussi, lorsque les Phocidiens eurent appris le résultat de votre assemblée, qu'ils eurent en main le décret de Philocrate, qu'ils connurent les rapports et les promesses d'Eschine, ils furent écrasés de tous côtés, et voici comment. Quelques-uns d'entre eux, hommes sensés, se méfiaient de Philippe : leur confiance fut peu à peu gagnée. Par quel moyen ? par cette réflexion : « Dût Philippe nous tromper mille fois, jamais les députés d'Athènes n'oseraient tromper les Athéniens; les rapports d'Eschine à ses concitoyens sont donc véridiques ; c'est la ruine de Thèbes qu'on prépare, non la nôtre. » D'autres pensaient qu'il fallait se défendre à tout prix. Mais ceux-ci étaient désar-

Συνέπραττον οὖν	Ils agissaient-de-concert donc
τούτοις,	pour cela,
καὶ συνηγωνίζοντο	et ils faisaient-effort-ensemble
τούτοις.	pour cela.
Οἱ μὲν τοίνυν Φωκεῖς,	Or les Phocidiens,
ὡς ἐπύθοντο	lorsqu'ils eurent appris
τὰ ἐκ τῆς ἐκκλησίας	les *résultats* de l'assemblée
παρὰ ὑμῶν, καὶ ἔλαβόν τε	de chez vous, et *qu'*ils eurent reçu
τὸ ψήφισμα τοῦτο	ce décret-là
τὸ τοῦ Φιλοκράτους,	de Philocrate,
καὶ ἐπύθοντο τὴν ἀπαγγελίαν	et *qu'*ils furent informés du rapport
τὴν τούτου	de cet *homme* (d'Eschine),
καὶ τὰς ὑποσχέσεις,	et de *ses* promesses,
ἀπώλοντο	furent perdus
κατὰ πάντας τοὺς τρόπους.	de toutes les manières.
Σκοπεῖτε γάρ.	Considérez en effet *leur situation.*
Τινὲς ἦσαν αὐτόθι	Quelques *gens* étaient dans-ce-pays
ἀπιστοῦντες τῷ Φιλίππῳ,	se méfiant de Philippe,
καὶ ἔχοντες	et ayant
νοῦν·	intelligence *de ses intentions :*
οὗτοι ὑπήχθησαν	ceux-là furent amenés-doucement
πιστεύειν.	à se confier.
Διὰ τί;	Par quel *moyen?*
ὅτι ἡγοῦντο	parce qu'ils pensaient
τούς γε πρέσβεις	*que* du moins les députés
Ἀθηναίων	des Athéniens
οὐδέποτε ἂν τολμῆσαι	jamais n'oseraient
ἐξαπατᾶν Ἀθηναίους,	tromper les Athéniens,
οὐδὲ εἰ Φίλιππος	pas même si Philippe
ἐξηπάτα αὐτοὺς	trompait eux, *Phocidiens*,
δεκάκις·	dix fois;
ἀλλὰ ταῦτα	mais *que* ces choses
εἶναι ἀληθῆ,	étaient véritables,
ἃ οὗτος	lesquelles cet homme (Eschine)
ἀπήγγειλε πρὸς ὑμᾶς·	rapporta à vous;
καὶ ὄλεθρον ἥκειν	et *que* la ruine s'avançait
τοῖς Θηβαίοις,	sur les Thébains,
οὐχ αὑτοῖς.	non sur eux-mêmes.
Τινὲς ἄλλοι ἦσαν,	Quelques autres *Phocidiens* étaient,
οἳ ᾤοντο δεῖν	qui croyaient falloir

δεῖν ᾠοντο. Ἀλλὰ καὶ τούτους μαλακοὺς ἐποίησε τὸ τὸν Φίλιπ-

πον ὑπάρχειν αὐτοῖς πεισθῆναι, καὶ τό, ταῦτ' εἰ μὴ ποιήσωσιν,

ὑμᾶς ἐπ' αὐτοὺς ἥξειν, οὓς βοηθήσειν αὐτοῖς ἤλπιζον ἐκεῖνοι.

Αλλὰ καὶ μεταμέλειν ὑμῖν ᾠοντό τινες, πεποιημένοις τὴν πρὸς

Φίλιππον εἰρήνην. Τούτοις ὅτι καὶ τοῖς ἐκγόνοις τὴν αὐτὴν ἐψη-

φίσασθ', ἐπέδειξαν· ὥστε πανταχῇ τὰ παρ' ὑμῶν ἀπογνωσθῆναι.

Διόπερ ἅπαντα ταῦτ' εἰς ἓν ψήφισμα συνεσκεύασαν. Ὃ καὶ μέ-

γιστον ἔμοιγε δοκοῦσιν ἁπάντων ὑμᾶς ἠδικηκέναι· τὸ γὰρ πρὸς

ἄνδρα θνητόν, καὶ διὰ καιρούς τινας ἰσχύοντα, γράφοντας εἰρή-

νην ἀθάνατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην, καὶ

ἀποστερῆσαι μὴ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν παρὰ τῆς τύ-

més par la persuasion que Philippe tenait pour eux, et que, s'ils lui témoignaient de la défiance, vous marcheriez contre eux, vous dont ils attendaient du secours. Plusieurs même vous supposaient des regrets, au sujet de votre paix avec le monarque; mais à ceux-là on montrait que vous étendiez cette paix à vos descendants. Ainsi, du côté d'Athènes, pas un rayon d'espoir! Voilà pourquoi les perfides ont tout ramassé dans un seul décret; et, de tous leurs attentats contre vous, c'est le plus grand à mes yeux. En effet, proposer une éternelle paix avec un homme mortel que d'heureux hasards ont seuls fait puissant, stipuler le déshonneur de la patrie, lui arracher us-

πάσχειν ὁτιοῦν	souffrir quoi-que-ce-fût
καὶ ἀμύνεσθαι.	et se défendre.
Ἀλλὰ τὸ πεισθῆναι	Mais le être persuadés (la persuasion)
τὸν Φίλιππον ὑπάρχειν αὐτοῖς,	*que* Philippe était-pour eux, [cher
καὶ τὸ ὑμᾶς ἥξειν	et *la crainte que* vous devoir mar-
ἐπὶ αὐτούς,	contre eux,
οὓς ἐκεῖνοι ἤλπιζον	*vous* que ceux-ci espéraient
βοηθήσειν αὐτοῖς,	devoir secourir eux-mêmes,
ἐποίησε μαλακοὺς	rendit mous (amortit l'ardeur de)
καὶ τούτους.	même ces *gens-là*.
Ἀλλὰ καί τινες ᾤοντο	Mais quelques-uns encore croyaient
μεταμέλειν	changement-de-sentiment-être
ὑμῖν	à vous (que vous vous repentiez)
πεποιημένοις	ayant (d'avoir) fait
τὴν εἰρήνην πρὸς Φίλιππον.	la paix envers (avec) Philippe.
Ἐπέδειξαν τούτοις	*Les députés* montrèrent à ceux-là
ὅτι ἐψηφίσασθε τὴν αὐτὴν	que vous avez décrété la même *paix*
καὶ τοῖς ἐκγόνοις·	aussi pour les descendants;
ὥστε	tellement que
τὰ παρὰ ὑμῶν	les choses *venant* de vous
ἀπογνωσθῆναι πανταχῆ.	furent désespérées de-toutes-parts.
Διόπερ	C'est pourquoi *Eschine et Philo-*
συνεσκεύασαν	concertèrent-à-la-fois [*crate*
ἅπαντα ταῦτα	toutes ces *combinaisons*
εἰς ἓν ψήφισμα.	en un *seul* décret.
Ὃ δοκοῦσιν ἔμοιγε	En quoi ils paraissent à moi du moins
ἠδικηκέναι ὑμᾶς	avoir-fait-tort à vous
καὶ μέγιστον	*comme* par *le fait* même le plus grave
ἁπάντων.	de tous.
Πῶς γὰρ	Comment, en effet,
τὸ συνθέσθαι	l'*action de* stipuler
τὴν αἰσχύνην κατὰ τῆς πόλεως,	le déshonneur contre la République,
γράφοντας	en inscrivant *dans le traité*
εἰρήνην ἀθάνατον	une paix immortelle
πρὸς ἄνδρα θνητόν,	envers un homme mortel,
καὶ ἰσχύοντα	et devenu-puissant
διά τινας καιρούς,	par certaines circonstances,
καὶ ἀποστερῆσαι τὴν πόλιν	et *de* priver la République
μὴ μόνον τῶν ἄλλων,	non-seulement des autres *ressources*,
ἀλλὰ καὶ εὐεργεσιῶν	mais encore des bienfaits

χης εὐεργεσιῶν τὴν πόλιν, καὶ τοσαύτῃ περιουσίᾳ χρήσασθαι πονηρίας, ὥστε μὴ μόνον τοὺς ὄντας Ἀθηναίους, ἀλλὰ καὶ τοὺς ὕστερόν ποτε μέλλοντας ἔσεσθαι πάντας ἠδικηκέναι, πῶς οὐχὶ πάνδεινόν ἐστι; Τοῦτο τοίνυν οὐδέποθ' ὑμεῖς ὑπεμείνατ' ἂν ὕστερον προσγράψαι πρὸς τὴν εἰρήνην, τό, « καὶ τοῖς ἐκγόνοις, » εἰ μὴ ταῖς παρ' Αἰσχίνου ῥηθείσαις ὑποσχέσεσι τότ' ἐπιστεύσατε, αἷσπερ οἱ Φωκεῖς πιστεύσαντες ἀπώλοντο. Καὶ γάρ τοι παραδόντες αὑτοὺς Φιλίππῳ, καὶ ἑκόντες ἐγχειρίσαντες ἐκείνῳ τὰς πόλεις, ἁπάντων τῶν ἐναντίων, ὧν πρὸς ὑμᾶς οὗτος ἀπήγγειλεν, ἔτυχον.

Ἵνα δ' εἰδῆτε σαφῶς, ὅτι ταῦθ' οὕτω καὶ διὰ τούτους ἀπόλωλε, τοὺς χρόνους ὑμῖν λογιοῦμαι, καθ' οὓς ἐγίγνεθ' ἕκαστα. Περὶ ὧν δ' ἄν τις ἀντιλέγῃ τούτων, ἀναστὰς ἐν τῷ ἐμῷ ὕδατι εἰπάτω[1]. Ἡ μὲν τοίνυν εἰρήνη[2] Ἐλαφηβολιῶνος ἐνάτῃ ἐπὶ δέκα

qu'aux faveurs que lui réserve la fortune, et, par une inépuisable scélératesse, frapper du même coup tous les Athéniens vivants, tous les Athéniens à naître, n'est-ce pas là une énorme forfaiture? Vous n'auriez jamais souffert, vous, qu'on ajoutât au traité ces mots : *et pour les descendants*, si vous n'eussiez alors accordé votre confiance aux promesses débitées par Eschine; confiance qui, partagée par les Phocidiens, les a perdus. Oui, après s'être livrés eux-mêmes à Philippe, après avoir remis volontairement leurs villes entre ses mains, ils ont essuyé un traitement qui est le démenti du rapport de l'accusé.

Pour vous montrer clairement les coupables, et le concours de circonstances qui a ruiné la Phocide, voici le calcul des dates de chaque fait. Si l'un de nos adversaires veut en contester l'exactitude, qu'il se lève, qu'il parle sur le temps qui m'est accordé.

La paix s'est faite le 19 du mois Élaphébolion. Notre absence,

τῶν παρὰ τῆς τύχης,
καὶ χρήσασθαι
περιουσίᾳ πονηρίας
τοσαύτῃ, ὥςτε ἠδικηκέναι
πάντας Ἀθηναίους,
μὴ μόνον τοὺς ὄντας,
ἀλλὰ καὶ
τοὺς μέλλοντας ἔσεσθαι
ὕστερόν ποτε,
οὐχί ἐστι πάνδεινον;
Ὑμεῖς τοίνυν ὑπεμείνατε ἂν
οὐδέποτε ὕστερον
προσγράψαι πρὸς τὴν εἰρήνην
τοῦτο, τό, « καὶ τοῖς ἐκγόνοις, »
εἰ μὴ ἐπιστεύσατε τότε
ταῖς ὑποσχέσεσι
ῥηθείσαις παρὰ Αἰσχίνου,
αἷςπερ οἱ Φωκεῖς πιστεύσαντες
ἀπώλοντο.
Καὶ γάρ τοι
παραδόντες αὑτοὺς Φιλίππῳ,
καὶ ἑκόντες
ἐγχειρίσαντες ἐκείνῳ
τὰς πόλεις,
ἔτυχον
ἁπάντων τῶν ἐναντίων
ὧν οὗτος
ἀπήγγειλε πρὸς ὑμᾶς.
Ἵνα δὲ εἰδῆτε
σαφῶς
ὅτι ταῦτα ἀπόλωλεν
οὕτω καὶ διὰ τούτους,
λογιοῦμαι ὑμῖν τοὺς χρόνους
κατὰ οὓς ἕκαστα ἐγίγνετο.
Ἂν δέ τις τούτων
ἀντιλέγῃ
περὶ ὧν,
ἀναστὰς εἰπάτω
ἐν τῷ ἐμῷ ὕδατι.
Ἡ μὲν τοίνυν εἰρήνη ἐγένετο

ceux *provenant* de la fortune,
et *de* pratiquer
un excès de perversité
tel que d'avoir lésé
tous les Athéniens,
non seulement ceux existant,
mais encore
ceux devant exister
plus tard quelque-jour,
n'est-elle pas tout-à-fait-criminelle?
Or vous, vous n'auriez souffert
jamais dans-la-suite
d'ajouter-par-écrit au traité-de-paix
ceci, le, « et pour les descendants, »
si vous n'eussiez cru alors
aux promesses
débitées par Eschine,
auxquelles les Phocidiens ayant cru
furent détruits.
Car certainement
ayant livré eux-mêmes à Philippe,
et volontairement
ayant remis-entre-les-mains à lui
leurs villes,
ils éprouvèrent
tous les *traitements* opposés
à ceux que cet *homme*
rapporta à vous.
Mais afin que vous sachiez
clairement
que ces choses (la Phocide) ont péri
de-cette-manière et par ces *hommes*,
je supputerai devant vous les dates
auxquelles chaque *fait* eut lieu.
Or, si quelqu'un de ces *hommes*
contredit [tes),
touchant lesquelles (touchant ces da-
s'étant levé qu'il parle
pendant *l'écoulement de* mon eau.
Donc, la paix fut faite

ἐγένετο. Ἀπεδημήσαμεν δ' ἡμεῖς ἐπὶ τοὺς ὅρκους τρεῖς μῆνας ὅλους· καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἦσαν οἱ Φωκεῖς σῷοι. Ἤκομεν δὲ δεῦρ' ἀπὸ τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους τρίτῃ ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος μηνός· καὶ παρῆν ὁ Φίλιππος ἐν Πύλαις ἤδη, καὶ τοῖς Φωκεῦσιν ἐπηγγέλλετο, ὧν οὐδὲν ἐπίστευον ἐκεῖνοι. Σημεῖον δέ· οὐ γὰρ ἂν δεῦρ' ἦκον ὡς ὑμᾶς. Ἡ δ' ἐκκλησία μετὰ ταῦτα, ἐν ᾗ πάντα τὰ πράγματ' ἀπώλεσαν οὗτοι ψευσάμενοι καὶ φενακίσαντες ὑμᾶς, τῇ ἕκτῃ ἐπὶ δέκα ἐγίγνετο τοῦ Σκιροφοριῶνος. Ἀπὸ τοίνυν ταύτης πεμπταῖα λογίζομαι τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι γενέσθαι· παρῆσαν γὰρ οἱ τῶν Φωκέων πρέσβεις ἐνθάδε, καὶ ἦν αὐτοῖς, καὶ τί ἀπαγγελοῦσιν

pour l'échange des serments, dura trois mois entiers. Pendant tout ce temps, la Phocide était encore libre. Nous revînmes de cette ambassade le 13 de Scirophorion. Déjà Philippe, parvenu aux Thermopyles, faisait aux Phocidiens des déclarations dont iis ne croyaient pas un mot. Je le prouve par cette députation que, sans cela, ils ne vous auraient pas envoyée. Le 16 du même mois, le peuple tint l'assemblée dans laquelle les traîtres ont tout abattu sous les coups du mensonge et de l'imposture. Je compte que, cinq jours après, les détails de votre séance parvinrent en Phocide : car les délégués de cette contrée étaient ici, et avaient à cœur de savoir quel serait le

ἐνάτῃ ἐπὶ δέκα
Ἐλαφηβολιῶνος.
Ἡμεῖς δὲ ἀπεδημήσαμεν
ἐπὶ τοὺς ὅρκους
τρεῖς μῆνας ὅλους·
καὶ οἱ Φωκεῖς
ἦσαν σῷοι
τοῦτον ἅπαντα τὸν χρόνον.
Ἥκομεν δὲ δεῦρο
ἀπὸ τῆς πρεσβείας
τῆς ἐπὶ τοὺς ὅρκους
τρίτῃ ἐπὶ δέκα
τοῦ μηνὸς Σκιροφοριῶνος·
καὶ ὁ Φίλιππος παρῆν ἤδη
ἐν Πύλαις,
καὶ ἐπηγγέλλετο
τοῖς Φωκεῦσιν
ὧν ἐκεῖνοι
ἐπίστευον οὐδέν.
Σημεῖον δέ·
οὐ γὰρ ἦκον ἄν
δεῦρο ὡς ὑμᾶς.
Ἡ δὲ ἐκκλησία,
ἐν ᾗ
οὗτοι
ἀπώλεσαν
πάντα τὰ πράγματα ψευσάμενοι
καὶ φενακίσαντες ὑμᾶς,
ἐγίγνετο μετὰ ταῦτα
τῇ ἕκτῃ ἐπὶ δέκα
τοῦ Σκιροφοριῶνος.
Λογίζομαι τοίνυν
τὰ παρὰ ὑμῶν
γενέσθαι
ἐν τοῖς Φωκεῦσι
πεμπταῖα
ἀπὸ ταύτης·
οἱ γὰρ πρέσβεις τῶν Φωκέων
παρῆσαν ἐνθάδε,
καὶ ἦν ἐπιμελὲς αὐτοῖς

le neuvième *jour* en-surplus-de dix
du *mois* Élaphébolion.
Or nous, nous fûmes-en-voyage
pour *la prestation des* serments
pendant trois mois entiers;
et les Phocidiens
étaient sains-et-saufs
durant tout ce temps-là.
Nous revînmes ici
de l'ambassade
celle pour les serments
le troisième *jour* en-surplus-de dix
du mois Scirophorion :
et Philippe était-présent déjà
aux Thermopyles,
et il faisait-promettre
aux Phocidiens
des choses dont ceux-ci
ne croyaient rien.
Or, la preuve, *la voici :*
c'est qu'ils ne seraient pas venus
ici vers vous (n'auraient pas député).
Et l'assemblée-populaire,
dans laquelle
ces *gens*-ci (Eschine et Philocrate)
ruinèrent
toutes les affaires en mentant
et en faisant-illusion à vous,
eut lieu après cela
le sixième *jour* en-surplus-de dix
du *mois* Scirophorion.
Or je calcule
que les choses *décidées* de la part de [vous
parvinrent
chez les Phocidiens
le-cinquième *jour*
à-dater-de celui-là :
car des députés des Phocidiens
étaient-présents ici,
et il était à-cœur à eux

οὗτοι καὶ τι ψηφιεῖσθε ὑμεῖς, ἐπιμελὲς εἰδέναι. Οὐκοῦν εἰκάς, ἢ τίθεμεν πυθεσθαι τοὺς Φωκέας τὰ παρ' ὑμῶν· ἀπὸ γὰρ τῆς ἕκτης εἰς ταύτην πέμπτη γίγνεται[1]. Ὑστέρα τοίνυν δεκάτη, ἐνάτη, ὀγδόη. Ταύτῃ ἐγίγνονθ' αἱ σπονδαί[2], καὶ πάντα τἀκεῖ πράγματ' ἀπολώλει καὶ τέλος εἶχεν. Τῷ τοῦτο δῆλον; τῇ τετράδι φθίνοντος ἐκκλησιάζετε μὲν τόθ' ὑμεῖς ἐν Πειραιεῖ περὶ τῶν ἐν τοῖς νεωρίοις· ἦκε δὲ Δερκύλος ἐκ Χαλκίδος, καὶ ἀπήγγειλεν ὑμῖν, ὅτι πάντα τὰ πράγματ' ἐγκεχείρικε Θηβαίοις ὁ Φίλιππος, καὶ πέμπτην εἶναι ταύτην ἡμέραν ἐλογίζετ', ἀφ' οὗ γεγόνασιν αἱ σπονδαί. Ὀγδόη τοίνυν, ἑβδόμη, ἕκτη, πέμπτη, τετράς. Αὐτὸ συμβαίνει εἰς ταύτην εἶναι πέμπτην. Οὐκοῦν τοῖς

rapport de vos députés, quelle serait la décision d'Athènes. Plaçons donc au 20 la connaissance qu'en eurent les Phocidiens, puisqu'il y a cinq jours du 6 au 20. Viennent ensuite le 10, le 9, le 8. Ce dernier jour, date du traité, consomma la perte de la Phocide. Comment le prouver? Le 4 de la troisième décade, vous étiez assemblés au Pirée, au sujet des arsenaux de marine. Dercylos vint de Chalcis vous annoncer que Philippe avait tout livré aux Thébains. Il y avait, d'après son calcul, cinq jours que l'accord était conclu. Comptons : huit, sept, six, cinq, quatre. Voilà précisément cinq jours. Ainsi, la date

εἰδέναι καὶ τί οὗτοι
ἀπαγγελοῦσι,
καὶ τί ὑμεῖς ψηφιεῖσθε.
Οὐκοῦν εἰκάς,
ἧ τίθεμεν
τοὺς Φωκέας
πυθέσθαι
τὰ παρὰ ὑμῶν·
πέμπτη γὰρ γίγνεται
ἀπὸ
τῆς ἕκτης
εἰς ταύτην.
Δεκάτη τοίνυν, ἐνάτη,
ὀγδόη
ὑστέρα.
Αἱ σπονδαὶ ἐγίγνοντο
ταύτῃ,
καὶ πάντα πράγματα
τὰ ἐκεῖ
ἀπολώλει
καὶ εἶχε τέλος.
Τῷ τοῦτο δῆλον,
ὑμεῖς μὲν ἐκκλησιάζετε
τότε τῇ τετράδι φθίνοντος
ἐν Πειραιεῖ,
περὶ τῶν
ἐν τοῖς νεωρίοις·
Δερκύλος δὲ ἦκεν ἐκ Χαλκίδος,
καὶ ἀπήγγειλεν ὑμῖν
ὅτι ὁ Φίλιππος ἐγκεχείρικε
πάντα τὰ πράγματα Θηβαίοις,
καὶ ἐλογίζετο ταύτην ἡμέραν
εἶναι πέμπτην,
ἀπὸ οὗ αἱ σπονδαὶ
γεγόνασιν.
Ὀγδόη τοίνυν,
ἑβδόμη,
ἕκτη, πέμπτη, τετράς.
Αὐτὸ συμβαίνει εἶναι
εἰς ταύτην πέμπτην.

de savoir et quoi ces *gens*-ci
énonceront-dans-leur-rapport,
et quoi vous décréterez.
Donc, *soit* le vingtième-jour,
dans lequel nous supposons
que les Phocidiens
furent informés [vous :
des *décisions prises* de la part de
le cinquième *jour*, en effet, s'écoule
depuis
le sixième *jour de la seconde décade*
jusqu'à celui-là (jusqu'au vingtième).
Or, dixième, neuvième,
huitième *jour*
postérieur (viennent ensuite).
Le traité fut conclu
ce *jour-là* (le huitième),
et toutes les affaires
de là (de la Phocide)
furent ruinées
et eurent fin (et tout fut fini).
Par quoi cela *est-il rendu* clair ?
vous vous-réunissiez-en-assemblée
alors le quatrième-jour du *mois* finis-
au Pirée, [sant
concernant les choses [mes :
qui sont dans les arsenaux-mariti-
or Dercylos arriva de Chalcis,
et rapporta à vous
que Philippe avait livré
toutes les affaires aux Thébains,
et il calculait *que* ce jour *où il parlait*
était le cinquième,
depuis que les conventions
furent *faites*.
Or, *comptez :* huitième *jour*,
septième,
sixième, cinquième, quatrième.
Ce *fait* se trouve être
dans ce cinquième *jour-là*.

χρόνοις, οἷς ἀπήγγελλον, οἷς ἔγραφον, πᾶσιν ἐξελέγχονται συνηγωνισμένοι Φιλίππῳ, καὶ συναίτιοι γεγονότες τοῦ τῶν Φωκέων ὀλέθρου.

Ἔτι τοίνυν τὸ μηδεμίαν τῶν πόλεων τῶν ἐν Φωκεῦσιν ἁλῶναι πολιορκίᾳ, μηδ' ἐκ προσβολῆς κατὰ κράτος, ἀλλ' ἐκ τοῦ σπείσασθαι πάντας ἄρδην ἀπολέσθαι, μέγιστόν ἐστι σημεῖον τοῦ διὰ τούτους πεισθέντας αὐτούς, ὡς ὑπὸ τοῦ Φιλίππου σωθήσονται, ταῦτα παθεῖν· οὐ γὰρ ἐκεῖνόν γ' ἠγνόουν. Φέρε δή μοι καὶ τὴν συμμαχίαν τὴν τῶν Φωκέων, καὶ τὰ δόγματα, ὑφ' ὧν καθεῖλεν αὐτῶν τὰ τείχη, ἵν' εἰδῆτε, οἵων ὑπαρχόντων αὐτοῖς παρ' ὑμῶν, οἵων ἔτυχον διὰ τούτους τοὺς θεοῖς ἐχθρούς. Λέγε.

du rapport, la date du décret, tout démontre invinciblement que ces hommes secondèrent Philippe, qu'ils furent ses complices dans la catastrophe de la Phocide.

Il y a plus : la prise de toutes leurs villes sans siége, sans assaut, leur entière destruction en vertu d'un traité, sont la plus forte preuve que les Phocidiens n'ont éprouvé ce triste sort que pour avoir cru vos députés, qui leur montraient dans Philippe un sauveur. Ce prince, d'ailleurs, leur était assez connu. Prends notre traité d'alliance avec les Phocidiens, et la décision qui autorisa Philippe à raser leurs remparts. On va voir ce qu'ils pouvaient attendre de vous, et ce qu'ils ont souffert, grâce à ces ennemis des dieux. — Lis.

Οὐκοῦν πᾶσι τοῖς χρόνοις
οἷς ἀπήγγελλον,
οἷς ἔγραφον,
ἐξελέγχονται
συνηγωνισμένοι
Φιλίππῳ,
καὶ γεγονότες συναίτιοι
τοῦ ὀλέθρου τῶν Φωκέων.
Ἔτι τοίνυν
τὸ μηδεμίαν τῶν πόλεων
τῶν ἐν Φωκεῦσιν
ἁλῶναι πολιορκίᾳ,
μηδὲ ἐκ προσβολῆς κατὰ κράτος,
ἀλλὰ πάντας
ἀπολέσθαι ἄρδην
ἐκ τοῦ σπείσασθαι,
ἐστὶ σημεῖον μέγιστον
τοῦ αὐτοὺς
παθεῖν ταῦτα
πεισθέντας διὰ τούτους
ὡς σωθήσονται
ὑπὸ τοῦ Φιλίππου·
οὐ γὰρ ἠγνόουν
ἐκεῖνόν γε.
Φέρε δή μοι
καὶ τὴν συμμαχίαν
τὴν τῶν Φωκέων,
καὶ τὰ δόγματα, ὑπὸ ὧν
καθεῖλε
τὰ τείχη αὐτῶν,
ἵνα εἰδῆτε,
οἵων ὑπαρχόντων
αὐτοῖς παρὰ ὑμῶν,
οἵων ἔτυχον
διὰ τούτους
τοὺς ἐχθροὺς θεοῖς.
Λέγε.

Donc, par toutes les dates
où ils firent-leur-rapport,
où ils rédigèrent-le-décret, [cus
Eschine et Philocrate sont convain-
ayant (d'avoir) lutté-de-concert
avec Philippe,
et ayant (d'avoir) été complices
du désastre des Phocidiens.
Or, de plus,
ceci, *que* aucune des villes
situées chez les Phocidiens
n'avoir été prise par siége,
ni d'assaut par force,
mais tous *les Phocidiens*
avoir péri entièrement
par l'effet du avoir traité (du traité),
est la preuve la plus grande
du eux (qu'eux, que les Phocidiens)
avoir (ont) souffert ces *maux*,
ayant été persuadés par ces *hommes*
qu'ils seront conservés
par Philippe :
car ils n'ignoraient pas
le caractère de celui-ci, du moins.
Apporte-moi donc
et le traité-d'alliance [*niens*,
celui des Phocidiens *avec les Athé-*
et les décisions en vertu desquelles
Philippe détruisit
les remparts d'eux,
pour que vous sachiez,
quels *avantages* étant-éventuels
pour eux de la part de vous,
quels *malheurs* ils rencontrèrent
par-le-moyen-de ces *hommes*
ennemis des dieux.
Lis.

ΣΥΜΜΑΧΙΑ ΦΩΚΕΩΝ ΚΑΙ ΑΘΗΝΑΙΩΝ.

Ἃ μὲν τοίνυν ὑπῆρχε παρ' ὑμῶν αὐτοῖς, ταῦτ' ἐστί· φιλία, συμμαχία, βοήθεια· ὧν δ' ἔτυχον διὰ τοῦτον τὸν βοηθῆσαι κωλύσανθ' ὑμᾶς, ἀκούσατε. Λέγε.

ΟΜΟΛΟΓΙΑ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΦΩΚΕΩΝ.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι· «Ὁμολογία Φιλίππου καὶ Φωκέων,» φησίν, οὐχὶ Θηβαίων καὶ Φωκέων, οὐδὲ Θετταλῶν καὶ Φωκέων, οὐδὲ Λοκρῶν, οὐδὲ ἄλλου τῶν παρόντων οὐδενός. Καὶ πάλιν, παραδοῦναι δὲ τὰς πόλεις Φωκέας, φησί, Φιλίππῳ, οὐχὶ Θηβαίοις, οὐδὲ Θετταλοῖς, οὐδ' ἄλλῳ οὐδενί. Διὰ τί; ὅτι Φίλιππος ἀπηγγέλλετο πρὸς ὑμᾶς ὑπὸ τούτου ἐπὶ τῇ τῶν Φωκέων σωτηρίᾳ παρεληλυθέναι. Τούτῳ δὴ πάντ' ἐπίστευον, καὶ πρὸς τοῦτον πάντ' ἐσκόπουν, πρὸς τοῦτον ἐποιοῦντο τὴν εἰρή-

TRAITÉ D'ALLIANCE D'ATHÈNES AVEC LA PHOCIDE.

Voilà ce que vous deviez à la Phocide : amitié, alliance, protection armée. Écoutez maintenant ses malheurs, ouvrage de cet homme qui vous a empêchés de la secourir.

CONVENTION DE PHILIPPE AVEC LES PHOCIDIENS.

Vous entendez, Athéniens : *Convention des Phocidiens avec Philippe.* On ne dit pas, avec Thèbes, avec la Thessalie, avec la Locride, avec aucun autre peuple. Les Phocidiens, est-il dit encore, livreront leurs villes.... à qui ? aux Thébains ? aux Thessaliens ? à quelque autre nation ? non ! mais à Philippe. Pourquoi ? parce que c'est Philippe qui, dans le rapport d'Eschine à ses concitoyens, avait franchi les Thermopyles pour les protéger. Aussi ils livraient tout à Philippe ; c'est vers lui que se tournaient tous leurs regards ; c'est avec lui qu'ils faisaient la paix. Que l'on continue la lecture ; et vous,

ΣΥΜΜΑΧΙΑ
ΦΩΚΕΩΝ ΚΑΙ ΑΘΗΝΑΙΩΝ.

Ταῦτα μὲν τοίνυν ἐστὶν
ἃ ὑπῆρχεν αὐτοῖς
παρὰ ὑμῶν·
φιλία, συμμαχία, βοήθεια·
ἀκούσατε δὲ
ὧν ἔτυχον
διὰ τοῦτον
τὸν κωλύσαντα ὑμᾶς
βοηθῆσαι. Λέγε.

TRAITÉ-D'ALLIANCE
DES PHOCIDIENS ET DES ATHÉNIENS.

Ces *avantages* donc sont
ceux qui étaient-accordés à eux
par vous :
amitié, alliance, secours;
écoutez, au-contraire,
les maux qu'ils rencontrèrent
par-le-moyen-de cet *homme*
qui empêcha vous
d'aller-à-leur-secours. Lis.

ΟΜΟΛΟΓΙΑ ΦΙΛΙΠΠΟΥ
ΚΑΙ ΦΩΚΕΩΝ.

Ἀκούετε,
ὦ ἄνδρες Ἀθηναῖοι·
« Ὁμολογία Φιλίππου
καὶ Φωκέων, »
φησίν,
οὐχὶ Θηβαίων καὶ Φωκέων,
οὐδὲ Θετταλῶν καὶ Φωκέων,
οὐδὲ Λοκρῶν,
οὐδὲ οὐδενὸς ἄλλου
τῶν παρόντων.
Καὶ πάλιν φησί,
Φωκέας δὲ
παραδοῦναι τὰς πόλεις Φιλίππῳ,
οὐχὶ Θηβαίοις, οὐδὲ Θετταλοῖς,
οὐδὲ οὐδενὶ ἄλλῳ.
Διὰ τί; ὅτι Φίλιππος
ἀπηγγέλλετο πρὸς ὑμᾶς
ὑπὸ τούτου
παρεληλυθέναι
ἐπὶ τῇ σωτηρίᾳ τῶν Φωκέων.
Τούτῳ δὴ
ἐπίστευον πάντα,
καὶ ἐσκόπουν πάντα πρὸς τοῦτον,
ἐποιοῦντο τὴν εἰρήνην
πρὸς τοῦτον.

CONVENTION DE PHILIPPE
ET DES PHOCIDIENS.

Vous entendez,
ô hommes Athéniens :
« Convention de Philippe
et des Phocidiens, »
dit *cet acte*,
non des Thébains et des Phocidiens,
ni des Thessaliens et des Phocidiens,
ni des Locriens,
ni d'aucun autre *des États grecs*
de ceux présents.
Et encore il dit,
que les Phocidiens de-leur-côté
livreront *leurs* villes à Philippe,
non aux Thébains, ni aux Thessaliens,
ni à aucun autre *État*.
Pourquoi? parce que Philippe
était annoncé à vous
par lui (par Eschine)
avoir franchi *les Thermopyles*
pour le salut des Phocidiens.
C'est à celui-ci (à Philippe) donc
*qu'*ils livraient-avec-confiance tout,
et ils considéraient tout vers lui,
et ils faisaient la paix
avec lui.

νην. Λέγε δὴ τἀπίλοιπα. Καὶ σκοπεῖτε, τίνα πιστεύσαντες τίν' ἔπασχον. Ἆρά γ' ὅμοια, ἢ παραπλήσια, οἷς οὗτος ἀπήγγειλεν; Λέγε.

ΔΟΓΜΑΤΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

64 Τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερ' οὐ γέγονεν οὐδὲ μείζω πράγματ' ἐφ' ἡμῶν ἐν τοῖς Ἕλλησιν, οἶμαι δ' οὐδ' ἐν τῷ πρόσθεν χρόνῳ. Τηλικούτων μέντοι καὶ τοιούτων πραγμάτων κύριος εἷς ἀνὴρ Φίλιππος γέγονε διὰ τούτους, οὔσης τῆς Ἀθηναίων πόλεως, ἣ προεστάναι τῶν Ἑλλήνων πάτριον, καὶ μηδὲν τοιοῦτον περιορᾶν γιγνόμενον. Ὃν μὲν τοίνυν τρόπον οἱ ταλαίπωροι Φωκεῖς ἀπολώλασιν, οὐ μόνον ἐκ τῶν δογμάτων τούτων ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῶν ἔργων ἃ πέπραχται. Θέαμα δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐλεεινόν· ὅτε γὰρ νῦν ἐπορευόμεθ' εἰς Δελφούς, ἐξ ἀνάγκης ἦν ἡμῖν ὁρᾷν πάντα ταῦτα· οἰκίας κατε-

Athéniens, comparez leurs espérances avec leur sort. Est-il tel, ou à peu près tel que l'accusé l'annonçait? — Lis.

DÉCISION DES AMPHICTYONS.

Jamais, ô Athéniens, il n'y eut de nos jours, parmi les Hellènes, ni peut-être dans les âges précédents, d'événements plus graves, plus cruels. Ces faits cependant, avec leur caractère et leur portée, un seul homme, Philippe, en est devenu le moteur suprême, grâce à ces perfides; et il y avait encore une Athènes, protectrice héréditaire de la Grèce, et opposée, par tradition, à de pareilles tyrannies! La connaissance de la catastrophe des infortunés Phocidiens résulte non-seulement de cette décision, mais surtout des événements qui l'ont suivie. Spectacle affreux et déchirant, ô Athéniens! que celui dont nos yeux furent témoins, malgré nous, en allant dernière-

Λέγε δὴ τὰ ἐπίλοιπα.
Καὶ σκοπεῖτε, τίνα πιστεύσαντες τίνα ἔπασχον.
Ἆρά γε ὅμοια,
ἢ παραπλήσια οἷς οὗτος ἀπήγγειλε; Λέγε.

Lis donc le reste.
Et examinez à quoi s'attendant quoi ils souffrirent.
Est-ce qu'*ils souffrirent un traitement* égal ou semblable *à celui* que ce *député* rapporta? Lis.

ΔΟΓΜΑΤΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

Ὦ ἄνδρες Ἀθηναῖοι,
πράγματα δεινότερα
οὐδὲ μείζω τούτων
οὐ γέγονεν
ἐπὶ ἡμῶν
ἐν τοῖς Ἕλλησιν,
οἶμαι δὲ οὐδὲ ἐν χρόνῳ
τῷ πρόσθεν.
Εἷς μέντοι ἀνὴρ
Φίλιππος γέγονε
διὰ τούτους
κύριος πραγμάτων
τηλικούτων καὶ τοιούτων,
τῆς πόλεως Ἀθηναίων οὔσης,
ἢ προεστάναι τῶν Ἑλλήνων
καὶ περιορᾶν
μηδὲν τοιοῦτον γιγνόμενον
πάτριον.
Ἔστι τοίνυν ἰδεῖν
οὐ μόνον
ἐκ τῶν δογμάτων τούτων,
ἀλλὰ καὶ ἐκ τῶν ἔργων
ἃ πέπρακται,
ὃν μὲν τρόπον
οἱ ταλαίπωροι Φωκεῖς
ἀπολώλασι.
Θέαμα δεινὸν καὶ ἐλεεινόν,
ὦ ἄνδρες Ἀθηναῖοι·
ὅτε γὰρ
ἐπορευόμεθα νῦν εἰς Δελφούς,
ἦν ἡμῖν
ἐξ ἀνάγκης

DÉCISIONS DES AMPHICTYONS.

O hommes Athéniens,
actes plus cruels
ni plus graves que ceux-là
n'ont pas été *commis*
du-temps-de nous
parmi les Hellènes,
ni, je crois, dans le temps
d'auparavant.
Un seul homme cependant,
Philippe, est devenu,
par-le-moyen-de ces *députés*,
maître de faits
si-grands et tels,
la cité des Athéniens existant,
cité pour qui protéger les Hellènes
et ne voir-avec-indifférence
rien de tel arrivant
est une coutume-héréditaire.
Or, il est *possible de* voir,
non-seulement
d'après ces décisions,
mais aussi d'après les actes
qui ont été commis,
de quelle façon
les infortunés Phocidiens
ont péri.
Spectacle cruel et pitoyable,
ô hommes Athéniens!
en effet, lorsque
nous allions dernièrement à Delphes,
il était *donné* à nous
de *toute* nécessité

σκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρι' ὀλίγα, καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς· οὐδ' ἂν εἷς δύναιτο ἐφικέσθαι τῷ λόγῳ τῶν ἐκεῖ κακῶν νῦν ὄντων. Ἀλλὰ μήν, ὅτι τὴν ἐναντίαν ποτὲ Θηβαίοις ψῆφον ἔθενθ' οὗτοι περὶ ἡμῶν ὑπὲρ ἀνδραποδισμοῦ προτεθεῖσαν[1], ὑμῶν ἔγωγ' ἀκούω πάντων. Τίν' ἂν οὖν οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν, εἰ λάβοιεν αἴσθησιν, ψῆφον ἢ γνώμην θέσθαι περὶ τῶν αἰτίων τοῦ τούτων ὀλέθρου; Ἐγὼ μὲν γὰρ οἶμαι, κἂν καταλεύσαντας αὐτοὺς ταῖς ἑαυτῶν χερσί, καθαροὺς ἔσεσθαι νομίζειν. Πῶς γὰρ οὐκ αἰσχρόν, μᾶλλον δ', εἴ τις ἐστὶν ὑπερβολὴ τούτου, τοὺς σεσωκότας ἡμᾶς τότε, καὶ τὴν σώζουσαν

ment à Delphes : des maisons renversées, des remparts détruits, des campagnes privées de leurs jeunes hommes, quelques pauvres femmes, quelques faibles enfants, de misérables vieillards! Non, aucun langage ne pourrait égaler les calamités qui pèsent sur ces contrées. Toutefois, je vous entends dire à tous que jadis, sur la question de réduire les Athéniens en esclavage, le vote de la Phocide fut opposé à celui de Thèbes. Si donc vos ancêtres revenaient à la vie, quelles seraient, ô Athéniens, leur opinion et leur sentence sur les destructeurs de la Phocide? Ah! je n'en doute point : après les avoir lapidés de leurs propres mains, ils croiraient ces mains pures encore. N'est-il pas honteux, en effet, ou plutôt n'est-ce pas le comble de la honte, qu'un peuple, qui alors nous sauva par un

ὁρᾷν πάντα ταῦτα·	de voir tous ces *malheurs ;*
οἰκίας κατεσκαμμένας,	maisons détruites,
τείχη περιῃρημένα,	remparts rasés,
χώραν ἔρημον	contrée dépeuplée
τῶν ἐν ἡλικίᾳ,	d'*habitants* dans la force-de-l'âge,
γύναια δὲ	et pauvres-femmes
καὶ παιδάρια	et pauvres-petits-enfants
ὀλίγα,	en-petit-nombre,
καὶ ἀνθρώπους πρεσβύτας	et hommes vieux
οἰκτρούς·	faisant-pitié ;
οὐδεὶς ἂν δύναιτο	personne ne pourrait
ἐφικέσθαι τῷ λόγῳ	atteindre par le discours
τῶν κακῶν ὄντων νῦν ἐκεῖ.	aux maux qui sont maintenant là.
Ἀλλὰ μὴν ἔγωγε ἀκούω	Cependant moi j'entends *dire*
ὑμῶν πάντων,	à vous tous,
ὅτι οὗτοι	que ces *gens* (les Phocidiens)
ἔθεντο ποτὲ	placèrent (donnèrent) jadis
περὶ ἡμῶν	au sujet de nous
τὴν ψῆφον ἐναντίαν Θηβαίοις,	un suffrage opposé aux Thébains,
προτεθεῖσαν	*suffrage* présenté [*Athéniens.*
ὑπὲρ ἀνδραποδισμοῦ.	sur la réduction-en-esclavage *des*
Τίνα οὖν ψῆφον ἢ γνώμην	Quel vote donc ou *quelle* sentence
οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι,	croyez-vous, ô hommes Athéniens,
τοὺς προγόνους ὑμῶν ἂν θέσθαι	*que* les aïeux de vous apporteraient
περὶ τῶν αἰτίων	sur les auteurs
τοῦ ὀλέθρου τούτων,	de la ruine de ceux-ci (les Phocidiens),
εἰ λάβοιεν αἴσθησιν ;	s'ils reprenaient le sentiment ?
Ἐγὼ μὲν γὰρ οἶμαι	Car, pour moi, je pense
καὶ καταλεύσαντας	*que*, même ayant lapidé
αὐτοὺς χερσὶ ταῖς ἑαυτῶν,	eux des mains d'eux-mêmes,
νομίζειν ἂν	ils croiraient
ἔσεσθαι καθαρούς.	devoir être *encore* purs (innocents).
Πῶς γὰρ	Comment, en effet,
οὐκ αἰσχρόν,	ne *serait-il* pas honteux,
μᾶλλον δέ,	même plus *que honteux*,
εἴ τις ὑπερβολὴ τούτου ἐστί,	si quelque degré-plus-haut de cela
τούτους,	*que* ces *Grecs*, [existe,
τοὺς σεσωκότας ἡμᾶς τότε,	qui sauvèrent nous alors,
καὶ θεμένους περὶ ἡμῶν	et qui apportèrent concernant nous
ψῆφον τὴν σώζουσαν,	le suffrage qui délivrait,

περὶ ἡμῶν ψῆφον θεμένους, τούτους τῶν ἐναντίων τετυχηκέναι διὰ τούτους, καὶ περιῶφθαι τοιαῦτα πεπονθότας, οἷα οὐδένες ἄλλοι τῶν Ἑλλήνων; Τίς οὖν ὁ τούτων αἴτιος; τίς ὁ ταῦτα φενακίσας; Οὐχ οὗτος;

67 Πολλὰ τοίνυν ἄν τις, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον εὐδαιμονίσας τῆς τύχης, εἰκότως τοῦτο μάλιστ' ἂν εὐδαιμονίσειεν ἁπάντων, ὅ, μὰ τοὺς θεοὺς καὶ τὰς θεάς, οὐκ ἔχω λέγειν ἔγωγε ἄλλον, ὅστις εὐτύχηκεν ἐφ' ἡμῶν. Τὸ μὲν γὰρ πόλεις μεγάλας εἰληφέναι, καὶ χώραν πολλὴν ὑφ' ἑαυτῷ πεποιῆσθαι, καὶ πάντα τὰ τοιαῦτα, ζηλωτὰ μέν ἐστιν, οἶμαι, καὶ λαμπρά· πῶς γὰρ οὔ; ἔχοι δ' ἄν τις εἰπεῖν πεπραγμένα καὶ ἑτέροις πολλοῖς. Ἀλλ' ἐκεῖν' ἴδιον, καὶ οὐδενὶ τῶν ἁπάντων ἄλλῳ γεγονὸς εὐτύχημα. Τὸ ποῖον; τό, ἐπειδὴ πονηρῶν ἀνθρώπων εἰς τὰ πράγματ' αὐτῷ ἐδέησε, πονηροτέρους εὑρεῖν, ἢ ἠβούλετο. Πῶς γὰρ οὐχ

suffrage protecteur, subisse, par l'effort de nos députés, un sort tout différent, et éprouve, sous nos yeux, des douleurs que ne connurent jamais les autres Hellènes? Qui donc est la cause de ces maux? quel fut l'artisan de ces impostures? N'est-pas Eschine?

Que de motifs, ô Athéniens, d'appeler Philippe heureux! heureux surtout d'un avantage dont je ne trouve pas d'autre exemple (j'en atteste tous les dieux!) parmi les hautes fortunes de notre siècle. Avoir pris de grandes villes, avoir soumis à son sceptre de vastes contrées, s'être signalé par mille succès, ce sont là des prospérités brillantes et dignes d'envie : qui en doute? Mais combien d'autres on pourrait citer qui en ont joui! Il est un bonheur qui lui fut propre, et qu'il n'a partagé avec personne. Ce bonheur, le voici : sa politique avait besoin de s'aider d'hommes pervers, et la perversité de ceux qu'il a trouvés a passé ses souhaits. Peut-on, à ces traits, ne pas

τετυχηκέναι τῶν ἐναντίων
διὰ τούτους,
καὶ περιῶφθαι
πεπονθότας τοιαῦτα
οἷα οὐδένες ἄλλοι
τῶν Ἑλλήνων;
Τίς οὖν ὁ αἴτιος τούτων;
τίς ὁ φενακίσας ταῦτα;
Οὐχ οὗτος;
Τὶς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι,
εὐδαιμονίσας Φίλιππον
πολλὰ τῆς τύχης,
εὐδαιμονίσειεν ἂν εἰκότως
μάλιστα ἁπάντων τοῦτο
ὃ ἔγωγε
οὐκ ἔχω λέγειν ἄλλον,
ὅστις εὐτύχηκεν
ἐπὶ ἡμῶν,
μὰ τοὺς θεοὺς καὶ τὰς θεάς.
Τὸ μὲν γὰρ εἰληφέναι
μεγάλας πόλεις,
καὶ πεποιῆσθαι ὑπὸ ἑαυτῷ
χώραν πολλήν,
καὶ πάντα τὰ τοιαῦτα
ἔστι μέν, οἶμαι,
ζηλωτὰ καὶ λαμπρά·
πῶς γὰρ
οὔ;
τὶς δὲ ἔχοι ἂν εἰπεῖν
πεπραγμένα καὶ
πολλοῖς ἑτέροις.
Ἀλλὰ ἐκεῖνο εὐτύχημα
ἴδιον,
καὶ γεγονὸς οὐδενὶ ἄλλῳ
τῶν ἁπάντων.
Τὸ ποῖον; τὸ εὑρεῖν
πονηροτέρους ἢ ἠβούλετο,
ἐπειδὴ ἐδέησεν αὐτῷ
ἀνθρώπων πονηρῶν
εἰς τὰ πράγματα.

aient rencontré *un sort* contraire
par-le-moyen-de ces *députés*,
et *qu'*ils aient été vus-avec-indiffé-
souffrant *des malheurs* tels [rence
qu'aucuns autres [*mais?*
des Hellènes *n'en souffrirent ja-*
Qui donc *est* cause de ces *maux?*
quel *est* celui qui a trompé pour cela?
N'*est-ce* pas cet *homme* (Eschine)?
Or quelqu'un, ô hommes Athé-
félicitant Philippe [niens,
de beaucoup de choses de *sa* fortune,
le féliciterait avec-raison
le plus de toutes choses, de ceci
que moi
je ne puis pas dire d'un autre
quel-qu'il-soit-qui ait été-heureux
pendant nous (de notre temps),
par les dieux et les déesses!
Car l'*avantage d'*avoir pris
grandes villes,
et avoir réduit sous soi-même
contrée considérable,
et tous les *succès* de-ce-genre
sont, il est vrai, je crois,
dignes-d'envie et brillants:
comment, en effet,
cela ne *serait-il* pas?
quelqu'un cependant pourrait citer
ces choses-là faites aussi
par beaucoup d'autres.
Mais ce bonheur-*ci*
fut personnel *à Philippe*,
et n'étant arrivé à aucun autre
de tous *les conquérants*.
Lequel? le *bonheur d'*avoir trouvé
des gens plus pervers qu'il *ne* voulait,
lorsqu'il fallut à lui
des hommes pervers
pour ses affaires.

οὗτοι τοιοῦτοι δικαίως ὑποληφθεῖεν ἄν, οἵγε, ἃ ὑπὲρ αὑτοῦ Φίλιππος, τηλικούτων ὄντων αὐτῷ τῶν διαφόρων, οὐκ ἐτόλμα ψεύσασθαι, οὐδ' ἔγραψεν οὔτ' εἰς ἐπιστολὴν οὐδεμίαν, οὔτε πρεσβευτὴς οὐδεὶς εἶπε τῶν παρ' ἐκείνου, ἐπὶ ταῦτα μισθώσαντες ἑαυτούς, ὑμᾶς ἐξηπάτων; Καὶ ὁ μὲν Ἀντίπατρος καὶ ὁ Παρμενίων[1], δεσπότῃ διακονοῦντες, καὶ οὐ μέλλοντες ὑμῖν μετὰ ταῦτ' ἐντεύξεσθαι, ὅμως τοῦθ' εὕροντο, μὴ δι' αὐτῶν ὑμᾶς ἐξαπατηθῆναι· οἱ δ' Ἀθηναίων, τῆς ἐλευθερωτάτης πόλεως, πρέσβεις ταχθέντες ὑμᾶς, οἷς ἀπαντῶντας ἐμβλέπειν, οἷς συζῆν ἀνάγκη τὸν λοιπὸν βίον, καὶ ἐν οἷς εὐθύνας ἤμελλον ὑμῖν δώσειν τῶν πεπραγμένων, τούτους ἐξαπατᾶν ὑπέστησαν. Πῶς ἂν ἄνθρωποι κακίους ἢ μᾶλλον ἀπονενοημένοι τούτων γένοιντο;

Ἵνα τοίνυν εἰδῆθ', ὅτι καὶ κατάρατός ἐστιν ὑφ' ὑμῶν, καὶ

reconnaître nos députés? Les mensonges que Philippe, ayant à débattre de si grands intérêts, n'osait ni vous présenter pour lui-même, ni écrire dans une seule de ses lettres, ni communiquer par aucune ambassade, ces hommes, pour un salaire, en ont séduit votre crédulité! Serviteurs d'un despote, Antipater et Parménion, que vous ne deviez plus revoir, ont bien compris que leur mandat n'était pas de vous tromper; et des ambassadeurs d'Athènes, la plus libre des républiques, des Athéniens qui devaient inévitablement se retrouver face à face avec vous, passer près de vous le reste de leurs jours, subir une enquête devant vous, ont eu l'audace de vous abuser! Où trouver des hommes plus pervers, de plus forcenés coupables?

Mais, pour vous prouver qu'Eschine a encouru l'imprécation, et

Πῶς γὰρ
οὗτοι
οὐχ ὑπολῃφθεῖεν ἂν δικαίως
τοιοῦτοι,
οἵγε,
μισθώσαντες ἑαυτούς,
ἐξηπάτων ὑμᾶς ἐπὶ ταῦτα
ἃ Φίλιππος οὐκ ἐτόλμα
ψεύσασθαι ὑπὲρ αὑτοῦ,
οὐδὲ ἔγραψεν
οὔτε εἰς οὐδεμίαν ἐπιστολήν,
οὔτε οὐδεὶς πρεσβευτὴς
τῶν παρὰ ἐκείνου εἶπε,
τῶν διαφόρων τηλικούτων
ὄντων αὐτῷ;
Καὶ ὁ μὲν Ἀντίπατρος
καὶ ὁ Παρμενίων,
διακονοῦντες δεσπότῃ,
καὶ οὐ μέλλοντες
μετὰ ταῦτα
ἐντεύξεσθαι ὑμῖν,
ὅμως εὕροντο τοῦτο,
ὑμᾶς μὴ ἐξαπατηθῆναι
διὰ αὑτῶν·
οἱ δὲ ταχθέντες
πρέσβεις Ἀθηναίων,
πόλεως τῆς ἐλευθερωτάτης,
ὑπέστησαν ἐξαπατᾷν ὑμᾶς,
τούτους οἷς ἀπαντῶντας
ἀνάγκη
ἐμβλέπειν,
οἷς συζῆν
τὸν λοιπὸν βίον,
καὶ ἐν οἷς ἤμελλον
δώσειν εὐθύνας
τῶν πεπραγμένων.
Πῶς ἄνθρωποι κακίους
ἢ μᾶλλον ἀπονενοημένοι τούτων
ἂν γένοιντο;
Ἵνα τοίνυν εἰδῆτε

Comment, effet,
ceux-ci (Eschine et Philocrate)
ne seraient-ils pas réputés justement
tels (des hommes très-pervers),
eux qui,
s'étant-mis-aux-gages *de Philippe*,
trompèrent vous sur ces choses
pour lesquelles Philippe n'osait
mentir pour lui-même,
ni n'écrivit *d'impostures*
nullement dans aucune lettre,
ni aucun ambassadeur
de ceux *envoyés* par lui n'*en* dit,
des démêlés si-graves
étant à lui?
Et, d'une part, Antipater
et Parménion,
servant un maître-absolu,
et ne devant point
après cela (après leur ambassade)
se-rencontrer-avec vous,
néanmoins reconnurent cette *vérité*,
vous n'avoir pas dû être trompés
par eux-mêmes;
et, d'autre part, les *gens* postés
comme députés des Athéniens,
de la république la plus libre,
eurent-l'audace-de tromper vous,
c'est-à-dire, ceux lesquels rencon-
nécessité *était* [trant
de *les* regarder-en-face,
avec lesquels *nécessité était* de vivre
le reste de *leur* vie,
et devant lesquels ils devaient
rendre compte
des choses faites.
Comment hommes plus méchants
ou plus furieux-malfaiteurs que ceux-
seraient-ils? [ci
Or, afin que vous sachiez

οὐδ' ὅσιον ὑμῖν οὐδ' εὐσεβές ἐστι τοιαῦτ' ἐψευσμένον αὐτὸν ἀφεῖναι, λέγε τὴν ἀρὰν[1] καὶ ἀνάγνωθι λαβὼν τὴν ἐκ τοῦ νόμου ταυτηνί.

ΑΡΑ.

Ταῦθ' ὑπὲρ ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καθ' ἑκάστην τὴν ἐκκλησίαν ὁ κήρυξ εὔχεται, νόμῳ προστεταγμένα· καὶ ὅταν ἡ βουλὴ κάθηται, παρ' ἐκείνῃ πάλιν. Καὶ ταῦτ' οὐκ ἔνεστιν εἰπεῖν τούτῳ, ὡς οὐκ εὖ ᾔδει· ὑπογραμματεύων γὰρ ὑμῖν, καὶ ὑπηρετῶν τῇ βουλῇ, αὐτὸς ἐξηγεῖτο τὸν νόμον τοῦτον τῷ κήρυκι. Πῶς οὖν οὐκ ἄτοπον καὶ ὑπερφυὲς ἂν πεποιηκότες ὑμεῖς εἴητε, εἰ ἄρ', ἃ προστάττετε, μᾶλλον δ' ἀξιοῦτε ποιεῖν ὑπὲρ ὑμῶν τοὺς θεούς, ταῦθ' οἱ κύριοι γεγενημένοι τήμερον μὴ ποιήσαιτε; ἀλλ'

qu'après toutes ses perfidies, vous ne pouvez l'absoudre sans crime et sans impiété, qu'on lise l'imprécation même, dictée par la loi.

IMPRÉCATION.

Telles sont, ô Athéniens, les malédictions inscrites dans la loi, et que prononce le héraut à chacune de vos assemblées, à chaque séance du conseil. Impossible à Eschine de dire qu'il ne les a pas bien connues : sous-greffier de votre tribunal, officier subalterne du conseil, il les dictait lui-même au héraut. Étrange inconséquence, si, aujourd'hui que vous le pouvez, vous n'exécutiez point vous-mêmes la punition dont vous chargez les dieux, ou plutôt que vous leur demandez! Quoi! le coupable dont vous priez le ciel d'exterminer la per-

ὅτι ἐστὶ καὶ
κατάρατος
ὑπὸ ὑμῶν,
καὶ οὐδέ ἐστιν ὅσιον
οὐδὲ εὐσεβὲς ὑμῖν
ἀφεῖναι αὐτὸν
ἐψευσμένον τοιαῦτα,
λέγε καὶ ἀνάγνωθι λαβὼν
τὴν ἀρὰν ταυτηνὶ
τὴν ἐκ τοῦ νόμου.

qu'*Eschine* est aussi
sous-le-coup-de-l'imprécation
prononcée par vous,
et qu'il n'est pas juste
ni pieux à vous
d'acquitter lui
qui a menti en de telles choses,
dis et lis, *l'*ayant prise,
l'imprécation, celle-ci,
tirée de la loi.

APA.

Ὦ ἄνδρες Ἀθηναῖοι,
ὁ κήρυξ εὔχεται ταῦτα,
προστεταγμένα νόμῳ,
ὑπὲρ ὑμῶν
κατὰ ἑκάστην τὴν ἐκκλησίαν·
καί, ὅταν ἡ βουλὴ κάθηται,
παρὰ ἐκείνῃ πάλιν.
Καὶ οὐκ ἔνεστι τούτῳ
εἰπεῖν
ὡς οὐκ ἤδει εὖ
ταῦτα·
ὑπογραμματεύων γαρ ὑμῖν,
καὶ ὑπηρετῶν τῇ βουλῇ,
αὐτὸς ἐξηγεῖτο
τὸν νόμον τοῦτον τῷ κήρυκι.
Πῶς οὖν ὑμεῖς
οὐκ ἂν εἴητε πεποιηκότες
ἄτοπον καὶ ὑπερφυές,
εἰ ἄρα
οἱ γεγενημένοι κύριοι
μὴ ποιήσαιτε τήμερον
ταῦτα ἃ προστάττετε,
μᾶλλον δὲ
ἀξιοῦτε τοὺς θεοὺς
ποιεῖν ὑπὲρ ὑμῶν;
ἀλλὰ αὐτοὶ ἀφείητε
τοῦτον ὃν εὔχεσθε
ἐκείνοις

IMPRÉCATION.

O hommes Athéniens,
le héraut prononce-ces-vœux-là,
vœux ordonnés par la loi,
pour vous
à chaque assemblée-populaire ;
et, lorsque le Conseil siége,
dans celui-ci encore. [*homme*
Et il n'est-pas-au-pouvoir de cet
de dire
qu'il ne connaissait pas bien
ces *imprécations :*
car, étant-sous-greffier près de vous,
et servant le Conseil,
lui-même dictait
cette loi au héraut.
Comment donc vous
ne seriez-vous point ayant fait
chose absurde et monstrueuse,
si, par exemple,
devenus maîtres *de punir,*
vous ne faisiez pas aujourd'hui
ce que vous prescrivez,
ou plutôt
ce que vous demandez aux dieux
de faire pour vous ?
mais si vous-mêmes acquittiez
celui que vous demandez-avec-prières
à eux

ὃν ἐκείνοις εὔχεσθε ἐξώλη ποιεῖν, αὐτὸν καὶ γένος καὶ οἰκίαν, τοῦτον ἀφείητ' αὐτοί; μηδαμῶς. Ὃς γὰρ ἂν ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν· ὃν δ' ἂν αὐτοὶ λάβητε, μηκέτ' ἐκείνοις περὶ τούτου προστάττετε.

Εἰς τοίνυν τοῦτ' ἀναιδείας καὶ τόλμης αὐτὸν ἥξειν ἀκουω, ὥστε πάντων τῶν πεπραγμένων ἐκστάντα, ὧν ἀπήγγειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν, ὥσπερ ἐν ἄλλοις τισὶ κρινόμενον, καὶ οὐκ ἐν ὑμῖν τοῖς ἅπαντ' εἰδόσι, πρῶτον μὲν Λακεδαιμονίων, εἶτα Φωκέων, εἶθ' Ἡγησίππου κατηγορήσειν[1]. Ἔστι δὲ ταῦτα γέλως, μᾶλλον δ' ἀναισχυντία δεινή. Ὅσα γὰρ νῦν ἐρεῖ περὶ τῶν Φωκέων, ἢ τῶν Λακεδαιμονίων, ἢ τοῦ Ἡγησίππου, ὡς Πρόξενον οὐχ ὑπεδέξαντο, ὡς ἀσεβεῖς εἰσίν, ὡς ὅ τι ἂν δή ποτ' αὐτῶν κατηγορῇ, πάντα δήπου ταῦτα, πρὸ τοῦ τοὺς πρέσβεις τούτους δεῦρ' ἥκειν, ἐπέπρακτο, καὶ οὐκ ἦν ἐμποδὼν

sonne, la race et la maison, vous l'acquitteriez! Non, non, Athéniens: abandonnez à la justice divine les perfidies ignorées; mais, pour les trahisons flagrantes, ne lui commettez jamais le soin de les poursuivre.

J'apprends qu'Eschine, par un excès d'impudence et d'audace, doit faire abstraction de tous les crimes de ses rapports, de ses promesses, de ses impostures publiques; et que, comme s'il paraissait devant d'autres juges, et non devant vous qui savez tout, il accusera d'abord les Lacédémoniens, puis les Phocidiens, puis Hégésippe. C'est une dérision, que dis-je? c'est une révoltante effronterie. Qu'il charge Sparte, Hégésippe et la Phocide; qu'il dise que cette contrée n'a pas reçu Proxénos; qu'il l'appelle sacrilége, qu'il l'accable de reproches: qu'importe? tout cela s'était fait avant le retour de la députation, tout cela ne rendait pas le salut de la Phocide impossible.

ποιεῖν ἐξώλη,
αὐτὸν καὶ γένος καὶ οἰκίαν ;
μηδαμῶς.
Ἀφίετε γὰρ τοῖς θεοῖς
κολάζειν τοῦτον
ὃς ἂν λάθῃ ὑμᾶς·
μηκέτι δὲ προστάττετε
ἐκείνοις
περὶ τούτου ὃν ἂν αὐτοὶ
λάβητε.
Ἀκούω τοίνυν αὐτὸν
ἥξειν εἰς τοῦτο ἀναιδείας
καὶ τόλμης, ὥστε,
ἐκστάντα
πάντων τῶν πεπραγμένων,
ὧν ἀπήγγειλεν,
ὧν ὑπέσχετο,
ὧν πεφενάκικε τὴν πόλιν,
ὥςπερ κρινόμενον
ἔν τισιν ἄλλοις,
καὶ οὐκ ἐν ὑμῖν
τοῖς εἰδόσιν ἅπαντα,
κατηγορήσειν
πρῶτον μὲν Λακεδαιμονίων,
εἶτα Φωκέων, εἶτα Ἡγησίππου.
Ταῦτα δέ ἐστι γέλως,
μᾶλλον δὲ ἀναισχυντία δεινή.
Πάντα γὰρ δήπου ταῦτα,
ὅσα ἐρεῖ νῦν
περὶ τῶν Φωκέων,
ἢ τῶν Λακεδαιμονίων,
ἢ τοῦ Ἡγησίππου,
ὡς οὐχ ὑπεδέξαντο Πρόξενον,
ὡς εἰσὶν ἀσεβεῖς,
ὡς ὅ τι ἂν δή ποτε
κατηγορῇ αὐτῶν,
ἐπέπρακτο
πρὸ τοῦ τούτους τοὺς πρέσβεις
ἥκειν δεῦρο,
καὶ οὐκ ἦν ἐμποδὼν

de faire exterminé,
lui, et *sa* race, et *sa* maison ?
nullement (qu'il n'en soit rien).
Laissez, en effet, aux dieux
de punir celui
qui a-pu-être-ignoré de vous ;
mais ne recommandez plus *rien*
à eux
concernant celui que vous-mêmes
aurez convaincu.
Or j'entends *dire que* lui (Eschine)
en viendra à ce *point* d'impudence
et d'audace, que,
se-plaçant-en-dehors
de toutes les choses faites *par lui*,
en-dehors de *ce* qu'il rapporta,
de *ce* qu'il promit,
de *ce* en quoi il abusa la cité,
comme jugé (comme s'il était cité)
devant quelques autres *juges*,
et non devant vous
qui connaissez tout,
il accusera
d'abord Lacédémoniens,
puis Phocidiens, puis Hégésippe.
Mais cela est rire (ridicule),
ou plutôt effronterie extrême.
Car certainement tous ces *griefs*,
qu'il débitera bientôt
sur les Phocidiens,
ou *sur* les Lacédémoniens,
ou *sur* Hégésippe,
disant qu'ils n'accueillirent pas
qu'ils sont impies, [Proxénos,
que de quoi-que-ce-soit qu'enfin
il accuse eux,
ces griefs avaient été commis
avant que ces députés
revenir ici,
et n'étaient pas empêchement

τῷ τοὺς Φωκέας σώζεσθαι, ὡς τίς φησιν; Αἰσχίνης αὐτὸς οὑτοσί. Οὐ γὰρ ὡς· « εἰ μὴ διὰ Λακεδαιμονίους, » οὐδ' ὡς· « εἰ μὴ Πρόξενον οὐχ ὑπεδέξαντο, » οὐδ' ὡς· « εἰ μὴ δι' Ἡγήσιππον, » οὐδ' ὡς· « εἰ μὴ διὰ τὸ καὶ τό, » ἐσώθησαν ἂν οἱ Φωκεῖς, οὐχ οὕτω τότ' ἀπήγγειλεν· ἀλλὰ πάντα ταῦθ' ὑπερβάς, διαῤῥήδην ἦκειν ἔφη πεπεικὼς Φίλιππον Φωκέας σώζειν, τὴν Βοιωτίαν οἰκίζειν, ὑμῖν τὰ πράγματ' οἰκεῖα ποιεῖν· ταῦτα πεπράξεσθαι δυοῖν ἢ τριῶν ἡμερῶν, καὶ διὰ ταῦτα χρήμαθ' ἑαυτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. Μὴ τοίνυν ἅ, πρὸ τοῦ τοῦτον ἀπαγγεῖλαι ταῦτ', ἐπέπρακτο ἢ Λακεδαιμονίοις, ἢ Φωκεῦσιν, ἀκούετε, μηδ' ἀνέχεσθε· μηδὲ κατηγορεῖν ἐᾶτε Φωκέων, ὡς πονηροί. Οὐδὲ γὰρ

Qui nous l'assure? cet Eschine lui-même, qui est devant vous. En effet, il ne disait point dans son rapport: « Sans l'obstacle apporté par Lacédémone, sans le refus d'accueillir Proxénos, sans l'opposition d'Hégésippe, sans tel ou tel autre empêchement, les Phocidiens seraient sauvés. » Pas un mot là-dessus; mais il disait en termes précis : « Je reviens après avoir persuadé à Philippe de protéger la Phocide, de rétablir les villes béotiennes, d'assurer votre prépondérance politique; tout sera fait dans deux ou trois jours; et voilà pourquoi les Thébains ont mis ma tête à prix. » Fermez donc l'oreille à tout ce qu'avaient fait et Sparte et la Phocide avant qu'il eût présenté ces rapports; ne permettez pas qu'il s'étende sur la perversité des Phocidiens. Certes, ce n'est pas pour leur vertu que vous sauvâtes jadis

τῷ τοὺς Φωκέας σώζεσθαι,
ὡς τίς φησιν;
Αἰσχίνης αὐτὸς οὑτοσί.
Οὐ γὰρ ἀπήγγειλε τότε
οὐχ οὕτως, ὡς·
« εἰ μὴ
διὰ Λακεδαιμονίους, »
οὐδὲ ὡς· « εἰ μὴ
οὐχ ὑπεδέξαντο Πρόξενον, »
οὐδὲ ὡς· « εἰ μὴ
διὰ Ἡγήσιππον, » οὐδὲ ὡς·
« εἰ μὴ διὰ τὸ
καὶ τό, »
οἱ Φωκεῖς ἂν ἐσώθησαν·
ἀλλὰ ὑπερβὰς πάντα ταῦτα,
ἔφη διαῤῥήδην
ἥκειν
πεπεικὼς Φίλιππον
σώζειν Φωκέας,
οἰκίζειν τὴν Βοιωτίαν,
ποιεῖν τὰ πράγματα οἰκεῖα
ὑμῖν·
ταῦτα πεπράξεσθαι
δυοῖν ἢ τριῶν ἡμερῶν,
καὶ τοὺς Θηβαίους
ἐπικεκηρυχέναι χρήματα
ἑαυτῷ
διὰ ταῦτα.
Μὴ τοίνυν ἀκούετε
μηδὲ ἀνέχεσθε
ἃ ἐπέπρακτο
ἢ Λακεδαιμονίοις,
ἢ Φωκεῦσι,
πρὸ τοῦ τοῦτον
ἀπαγγεῖλαι ταῦτα·
μηδὲ ἐᾶτε
κατηγορεῖν Φωκέων,
ὡς πονηροί.
Οὐδὲ γὰρ ἐσώσατέ πυτε
Λακεδαιμονίους

au les Phocidiens être sauvés (à leur
comme qui le dit? [salut),
Eschine lui-même, celui-ci. [alors
Car il ne dit-point-dans-son-rapport
ni ainsi, que (ni ceci):
« si *ce* n'*était*
à-cause-des Lacédémoniens; »
ni que : « si *ce* n'*était* que
ils ne reçurent pas Proxénos, »
ni que : « si *ce* n'*était*
à-cause-d'Hégésippe, » ni que :
« si *ce* n'*était* à-cause-de ceci
et de cela, »
les Phocidiens auraient été sauvés;
mais, passant-pardessus tout cela,
il dit explicitement
venir (qu'il revenait)
ayant persuadé à Philippe
de ménager les Phocidiens,
de repeupler la Béotie,
de rendre les affaires conformes
à vous (à vos intérêts);
que ces choses auront été faites,
dans deux ou trois jours,
et *que* les Thébains [gent
avaient promis-par-le-crieur de l'ar-
contre lui-même (à qui le tuerait)
à cause de cela.
N'écoutez donc point
ni n'endurez *qu'il dise*
ce qui avait été fait
ou par Lacédémoniens,
ou par Phocidiens,
avant que lui
avoir rapporté cela (avant ses rap-
et ne *le* laissez pas [ports);
accuser Phocidiens,
disant qu'*ils sont* pervers.
En effet, vous ne sauvâtes pas jadis
les Lacédémoniens

Λακεδαιμονίους διὰ τὴν αὐτῶν ἀρετήν ποτ' ἐσώσατε, οὐδὲ τοὺς καταράτους Εὐβοέας τουτουσί[1], οὐδ' ἄλλους πολλούς· ἀλλ' ὅτι συμφέρον ἦν σῶς εἶναι τῇ πόλει, ὥσπερ Φωκέας νυνί. Καὶ τί τῶν Φωκέων, ἢ τῶν Λακεδαιμονίων, ἢ ὑμῶν, ἢ ἄλλου τινὸς ἀνθρώπων, μετὰ τοὺς παρὰ τούτου λόγους, ἐξαμαρτόντος, οὐκ ἀπέβη τὰ πρὸς ὑμᾶς ὑπὸ τούτου τότε ῥηθέντα; τοῦτ' ἐρωτᾶτε· οὐ γὰρ ἔξει ὁεῖξαι. Πέντε γὰρ ἡμέραι γεγόνασι μόναι, ἐν αἷς οὗτος ἀπήγγειλε τὰ ψευδῆ, ὑμεῖς ἐπιστεύσατε, οἱ Φωκεῖς ἐπύθοντο, ἐνέδωκαν ἑαυτούς, ἀπώλοντο. Ὅθεν, οἶμαι, καὶ δῆλόν ἐστι σαφῶς, ὅτι πᾶσα ἀπάτη καὶ τέχνη συνεσκευάσθη τοῦ περὶ τοὺς Φωκέας ὀλέθρου. Ὃν μὲν γὰρ χρόνον οὐχ οἷός τ' ἦν ἐλθεῖν ὁ Φίλιππος μετὰ τὴν εἰρήνην, ἀλλ' ἦν ἐν παρασκευῇ, τοὺς Λακεδαιμονίους μετεπέμπετο, πάντα τὰ πράγμαθ' ὑποσχόμενος πράξειν ἐκείνοις, ἵνα μὴ δι' ὑμῶν αὐτοὺς οἱ Φωκεῖς ὑποποιή-

les Lacédémoniens, plus récemment les Eubéens maudits, et tant d'autres : c'est parce que leur salut importait à la République, comme de nos jours celui des Phocidiens. Enfin, quelle faute a commise, depuis les discours de l'accusé, ou la Phocide, ou Sparte, ou Athènes, ou tout autre peuple, pour empêcher l'exécution de ce qu'il vous avait annoncé? Faites-lui cette question; il ne pourra répondre. En cinq jours, il a donné des explications mensongères, vous y avez cru, la Phocide les a connues, elle s'est livrée, elle a péri. Preuve éclatante, je pense, que le but de toutes ces insidieuses manœuvres était la ruine de cette nation. Dans le temps où Philippe, ne pouvant se mettre en marche à cause de la paix récente, fait ses dispositions, il appelle les Lacédémoniens, leur promettant de tout faire pour

διὰ τὴν ἀρετὴν αὐτῶν,
οὐδὲ τοὺς Εὐβοέας τουτουσὶ
καταράτους,
οὐδὲ πολλοὺς ἄλλους·
ἀλλὰ
ὅτι ἦν συμφέρον τῇ πόλει
εἶναι σῶς,
ὥσπερ Φωκέας νυνί.
Καὶ τί τῶν Φωκέων,
ἢ τῶν Λακεδαιμονίων, ἢ ὑμῶν,
ἢ τινὸς ἄλλου ἀνθρώπων
ἐξαμαρτόντος
μετὰ λόγους
τοὺς παρὰ τούτου,
τὰ ῥηθέντα τότε
ὑπὸ τούτου πρὸς ὑμᾶς
οὐκ ἀπέβη;
ἐρωτᾶτε τοῦτο·
οὐ γὰρ ἕξει δεῖξαι.
Πέντε γὰρ ἡμέραι μόναι
γεγόνασιν, ἐν αἷς
οὗτος ἀπήγγειλε τὰ ψευδῆ,
ὑμεῖς ἐπιστεύσατε,
οἱ Φωκεῖς ἐπύθοντο,
ἐνέδωκαν ἑαυτούς,
ἀπώλοντο.
Ὅθεν, οἶμαι,
ἔστι καὶ δῆλον σαφῶς
ὅτι πᾶσα ἀπάτη καὶ τέχνη
συνεσκευάσθη τοῦ ὀλέθρου
περὶ τοὺς Φωκέας.
Ὃν μὲν γὰρ χρόνον
ὁ Φίλιππος οὐκ ἦν
οἷός τε ἐλθεῖν
μετὰ τὴν εἰρήνην,
ἀλλὰ ἦν ἐν παρασκευῇ,
μετεπέμπετο
τοὺς Λακεδαιμονίους,
ὑποσχόμενος πράξειν
πάντα τὰ πράγματα ἐκείνοις,

à cause de la vertu d'eux,
ni ces Eubéens
maudits,
ni beaucoup d'autres:
mais *vous les sauvâtes*
parce qu'il était utile à la République
eux être (qu'ils fussent) sauvés,
comme les Phocidiens maintenant.
Et en quoi les Phocidiens,
ou les Lacédémoniens, ou vous,
ou quelque autre des hommes
ayant failli
depuis les discours
de celui-ci (d'Eschine)
les *promesses* débitées alors
par lui à vous [pas eu leur effet)?
ne sont-elles pas sorties (n'ont-elles
demandez-*lui* cela;
car il ne pourra *le* montrer.
Car cinq jours seuls
se-sont-écoulés, pendant lesquels
celui-ci rapporta des impostures,
vous *y* crûtes,
les Phocidiens *les* apprirent,
livrèrent eux-mêmes,
périrent.
D'où, je pense,
il est même évident clairement
que toute tromperie et *tout* artifice
fut combiné pour la ruine
concernant les Phocidiens.
Car pendant le temps que
Philippe n'était point
en-état-de venir,
après la paix *conclue*,
mais était en préparatifs,
il mandait
les Lacédémoniens,
promettant de devoir faire
toutes choses pour eux,

σωνται. Ἐπειδὴ δ' ἦκεν εἰς Πύλας, οἱ Λακεδαιμόνιοι δ', αἰσθόμενοι τὴν ἐνέδραν, ὑπεχώρησαν, τοῦτον αὖ προκαθῆκεν ἐξαπατᾷν ὑμᾶς, ἵνα μή, πάλιν ὑμῶν αἰσθομένων, ὅτι Θηβαίοις τὰ πράγματα πράττει, εἰς χρόνους καὶ πόλεμον καὶ τριβὴν ἐμπέσῃ, τῶν μὲν Φωκέων ἀμυνομένων, ὑμῶν δὲ βοηθούντων· ἀλλ' ἀκονιτὶ πάνθ' ὑφ' ἑαυτῷ ποιήσηται· ὅπερ καὶ γέγονεν. Μὴ οὖν, ὅτι καὶ Λακεδαιμονίους καὶ Φωκέας ἐξηπάτησε Φίλιππος, διὰ ταῦθ', ὧν ὑμᾶς οὗτος ἐξηπάτησε, μὴ δότω δίκην· οὐ γὰρ δίκαιον.

ιβ Ἂν τοίνυν, ἀντὶ Φωκέων καὶ Πυλῶν καὶ τῶν ἄλλων τῶν ἀπολωλότων, Χερρόνησος ὡς περίεστι τῇ πόλει, λέγῃ, πρὸς Διὸς καὶ θεῶν, μὴ ἀποδέξησθε, ὦ ἄνδρες δικασταί, μηδ' ὑπομεί-

eux, de peur que la Phocide ne se les attache par votre entremise. Mais, lorsqu'il est arrivé aux Thermopyles, et que les Lacédémoniens, découvrant le guet-apens, se sont retirés, alors il aposte Eschine pour vous tromper, dans la crainte qu'Athènes ne s'aperçoive qu'il agit pour Thèbes, que la Phocide, aidée de vos armes, ne le repousse, et que, rejeté dans les longueurs d'une guerre qui consumera son temps, il ne puisse tout soumettre, comme il est arrivé, sans tirer l'épée. Eh bien! parce que Philippe a trompé Lacédémone et la Phocide, pardonnerez-vous à l'accusé de vous avoir trompés vous-mêmes? Non; il y aurait injustice.

S'il dit que, pour ample dédommagement de la Phocide, des Thermopyles et de vos autres pertes, il vous reste la Chersonèse, par Jupiter et tous les dieux, ne l'écoutez pas, ô juges! et ne souffrez

ἵνα οἱ Φωκεῖς
μὴ ὑποποιήσωνται
αὐτοὺς διὰ ὑμῶν.
Ἐπειδὴ δὲ ἦκεν
εἰς Πύλας,
οἱ δὲ Λακεδαιμόνιοι,
αἰσθόμενοι τὴν ἐνέδραν,
ὑπεχώρησαν,
αὖ προκαθῆκε τοῦτον
ἐξαπατᾶν ὑμᾶς,
ἵνα, ὑμῶν πάλιν αἰσθομένων
ὅτι πράττει τὰ πράγματα
Θηβαίοις,
μὴ ἐμπέσῃ εἰς χρόνους
καὶ πόλεμον
καὶ τριβήν,
τῶν μὲν Φωκέων
ἀμυνομένων,
ὑμῶν δὲ βοηθούντων·
ἀλλὰ
ποιήσηται ὑπὸ ἑαυτῷ
πάντα ἀκονιτί·
ὅπερ καὶ γέγονεν.
Μὴ οὖν
μὴ δότω δίκην
ὧν
οὗτος ἐξηπάτησεν ὑμᾶς,
διὰ ταῦτα ὅτι Φίλιππος
ἐξηπάτησε καὶ Λακεδαιμονίους
καὶ Φωκέας·
οὐ γὰρ δίκαιον.
Ἂν τοίνυν λέγῃ ὡς Χερρόνησος
περίεστι
τῇ πόλει
ἀντὶ Φωκέων
καὶ Πυλῶν
καὶ τῶν ἄλλων τῶν ἀπολωλότων,
πρὸς Διὸς καὶ θεῶν,
μὴ ἀποδέξησθε,
ὦ ἄνδρες δικασταί,

afin que les Phocidiens
n'attirassent-point-dans-leur-parti
eux par-le-moyen-de vous.
Mais après qu'il fut arrivé
aux Thermopyles,
et *que* les Lacédémoniens,
ayant senti le piége,
se furent retirés,
alors il aposta cet *homme* (Eschine)
pour tromper vous,
afin que, vous aussi ayant senti
qu'il fait les affaires
pour les Thébains,
il ne tombât point dans les délais
et *dans* la guerre
et *dans* la perte *de temps*,
les Phocidiens, d'une part,
se défendant,
vous, d'autre part, *les* secourant;
mais *afin que*
il mît sous lui-même (subjuguât)
tout sans-coup-férir;
ce qui aussi advint.
Qu'*il* n'*arrive* donc pas *qu'Eschine*
ne donne pas justice (ne soit pas puni)
des *promesses par* lesquelles
cet *homme* trompa vous,
parce que Philippe
trompa et Lacédémoniens
et Phocidiens :
car *cela* ne *serait* pas juste.
Or, s'il dit que la Chersonèse
reste-surabondamment
à la République
en-dédommagement des Phocidiens
et des Thermopyles
et des autres *contrées* perdues,
par Jupiter et les dieux,
n'accueillez pas *ce langage*,
ô hommes juges,

νητε, πρὸς οἷς ἐκ τῆς πρεσβείας ἠδίκησθε, καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος προσκατασκευασθῆναι τῇ πόλει, ὡς ἄρ' ὑμεῖς τῶν ἰδίων τι κτημάτων ὑπεξαιρούμενοι, τὴν τῶν συμμάχων σωτηρίαν προήκασθε· οὐ γὰρ ἐποιήσατε τοῦτο. Ἀλλ' ἤδη τῆς εἰρήνης γεγονυίας, καὶ τῆς Χερρονήσου σώας οὔσης, τέτταρας μῆνας ὅλους[1] ἐσώζοντο οἱ Φωκεῖς τοὺς ὕστερον. Ἡ δὲ τούτου ψευδολογία μετὰ ταῦθ' ὕστερον αὐτοὺς ἀπώλεσεν, ἐξαπατήσασ ὑμᾶς. Εἶτα καὶ νῦν ἐν μείζονι κινδύνῳ[2] τὴν Χερρόνησον οὖσαν εὑρήσετ' ἢ τότε. Πότερον γὰρ εὐπορώτερον ἂν δίκην ἔδωκε Φίλιππος ἐξαμαρτὼν εἰς αὐτήν, πρὶν τούτων τι τῆς πόλεως προλαβεῖν, ἢ

point que, non content des coups que vous a portés son ambassade, il attire sur Athènes, par son apologie, l'infâme reproche d'avoir sacrifié ses alliés pour dégager une faible portion de ses domaines. Non, vous ne l'avez point fait. La paix était conclue, la Chersonèse nous était assurée quatre mois entiers avant la ruine des Phocidiens. C'est Eschine qui plus tard, oui, plus tard, les a perdus en vous abusant par ses impostures. D'ailleurs, vous allez le reconnaître, la Chersonèse est aujourd'hui plus en danger qu'elle n'était alors. Car, si Philippe l'attaquait, serait-il plus aisé de le réprimer maintenant, qu'avant qu'il nous eût ravi une partie de nos avantages ? Non, il s'en

μηδὲ ὑπομείνητε καὶ ὄνειδος
προσκατασκευασθῆναι τῇ πόλει
ἐκ τῆς ἀπολογίας,
πρὸς οἷς
ἠδίκησθε
ἐκ τῆς πρεσβείας,
ὡς ἄρα ὑμεῖς
ὑπεξαιρούμενοί
τι
τῶν ἰδίων κτημάτων,
προήκασθε τὴν σωτηρίαν
τῶν συμμάχων·
οὐ γὰρ ἐποιήσατε τοῦτο.
Ἀλλὰ οἱ Φωκεῖς
ἐσώζοντο
τέτταρας μῆνας ὅλους
τοὺς ὕστερον,
τῆς εἰρήνης ἤδη γεγονυίας,
καὶ τῆς Χερρονήσου
οὔσης σώας.
Ἡ δὲ ψευδολογία
τούτου
ἀπώλεσεν αὐτοὺς
μετὰ ταῦτα ὕστερον,
ἐξαπατήσασα ὑμᾶς.
Εἶτα εὑρήσετε
τὴν Χερρόνησον οὖσαν
ἐν κινδύνῳ μείζονι
καὶ νῦν ἢ τότε.
Πότερον γὰρ Φίλιππος
ἐξαμαρτὼν
εἰς αὐτὴν
ἂν ἔδωκε δίκην
εὐπορώτερον
πρὶν προλαβεῖν
τῆς πόλεως
τι τούτων,
ἢ νυνί;
ἐγὼ μὲν οἶμαι,
πολλῷ

et n'endurez point *qu*'aussi honte
ait été ajoutée-contre la République
par *sa* justification,
aux *crimes* par lesquels
vous fûtes lésés
par son ambassade, [ce que vous)
à savoir que vous (honte consistant en
dégageant (pour dégager)
quelqu'une
de *vos* privées possessions,
vous abandonnâtes le salut
de *vos* alliés :
car vous ne fîtes point cela.
Mais les Phocidiens
subsistaient-encore
quatre mois entiers
ceux d'ensuite (plus tard),
depuis la paix déjà conclue,
et la Chersonèse
étant saine-et-sauve.
Mais le langage-mensonger
de celui-ci
perdit eux
après cela, plus tard,
ayant trompé vous.
D'ailleurs vous reconnaîtrez
la Chersonèse étant (que la Cherso-
en péril plus grand [nèse est)
même maintenant qu'alors.
Est-ce que, en effet, Philippe,
ayant fait-une-attaque-injuste
contre elle
en donnerait satisfaction
plus aisément
avant de s'être-hâté-de-prendre
à la République
quelqu'une de ces *contrées*,
que maintenant ?
pour moi, je pense [*sément*
que ç'aurait été beaucoup *plus ai-*

νυνί; ἐγὼ μὲν οἶμαι, τότε πολλῷ. Τίς οὖν ἡ ταύτης περιουσία, τῶν φόβων ἀφῃρημένων καὶ τῶν κινδύνων τῶν τοῦ βουληθέντος ἂν αὐτὴν ἀδικῆσαι;

80 Ἔτι τοίνυν, καὶ τοιοῦτό τι μέλλειν αὐτὸν ἀκούω λέγειν, ὅτι θαυμάζει, τί δή ποτε Δημοσθένης αὐτοῦ κατηγορεῖ, Φωκέων δ' οὐδείς. Ὡς δὴ τοῦτ' ἔχει, βέλτιον προακοῦσαι παρ' ἐμοῦ. Φωκέων τῶν ἐκπεπτωκότων οἱ μέν, οἶμαι, βέλτιστοι καὶ μετριώτατοι, φυγάδες γεγενημένοι, καὶ τοιαῦτα πεπονθότες, ἡσυχίαν ἄγουσι· καὶ οὐδεὶς ἂν αὐτῶν ἐθελήσειεν ὑπὲρ τῶν κοινῶν συμφορῶν ἰδίαν ἔχθραν ἀνελέσθαι· οἱ δ' ὁτιοῦν ἂν ἀργυρίου ποιήσαντες, τὸν δώσοντ' οὐκ ἔχουσιν αὐτοῖς. Οὐ γὰρ ἔγωγ' ἂν ἔδωκ' οὐδενὶ οὐδέν, ὥστε μοι παραστάντας ἐνταυθὶ βοᾷν οἷα πεπόνθασιν· ἡ γὰρ ἀλήθεια καὶ τὰ πεπραγμέν' αὐτὰ βοᾷ. Ἀλλὰ

faut de beaucoup. Où est-elle donc, cette riche indemnité, puisqu'il est délivré de toute crainte et de tout péril, celui qui voudrait envahir cette contrée?

J'apprends encore qu'Eschine doit dire : « Je suis étonné que Démosthène m'accuse, quand la Phocide entière se tait ! » Il est bon de vous en dire d'avance la raison. Parmi les Phocidiens expatriés, les uns (ce sont les plus sages et ies plus modérés) supportent en silence leur exil et leurs douleurs; et pas un ne voudrait, pour venger le commun malheur, affronter des haines personnelles; les autres, prêts à tout faire pour de l'argent, ne trouvent point qui leur en donne. Pour moi, je ne donnerais rien à aucun d'eux pour qu'il vînt près de moi faire retentir ce iieu du récit de leurs maux : les faits, trop véri-

τότε.	alors.
Τίς οὖν	Quelle *est* donc
ἡ περιουσία	l'abondante-possession
ταύτης,	de celle-ci (de la Chersonèse),
τῶν φόβων	les craintes
καὶ τῶν κινδύνων	et les dangers
τῶν τοῦ βουληθέντος ἂν	de celui qui aurait voulu
ἀδικῆσαι αὐτὴν	attaquer-injustement elle
ἀφῃρημένων ;	ayant été enlevés ?
Ἔτι τοίνυν, ἀκούω	Or, de plus, j'apprends
αὐτὸν μέλλειν λέγειν	*qu'*il doit dire
καί τι τοιοῦτο, ὅτι	aussi une chose telle, *à savoir*, que
θαυμάζει	il s'étonne
τί δή ποτε Δημοσθένης	pourquoi donc enfin Démosthène
κατηγορεῖ αὐτοῦ,	accuse lui,
οὐδεὶς δὲ	pourquoi, au contraire, aucun
Φωκέων.	des Phocidiens *ne l'accuse*.
Βέλτιον δὴ	Certes *il est* meilleur
προακοῦσαι παρὰ ἐμοῦ	d'apprendre-d'avance de moi
ὡς τοῦτο ἔχει.	pour-quelle-cause cela est.
Φωκέων	Des Phocidiens
τῶν ἐκπεπτωκότων	déchus *du titre de corps de nation*
οἱ μέν, βέλτιστοι	les uns, *et ce sont* les meilleurs
καὶ μετριώτατοι, οἶμαι,	et les plus modérés, je crois,
γεγενημένοι φυγάδες,	devenus émigrés,
καὶ πεπονθότες τοιαῦτα,	et ayant souffert de tels *maux*, [les) ;
ἄγουσιν ἡσυχίαν·	gardent le repos (se tiennent tranquil-
καὶ οὐδεὶς αὐτῶν ἂν ἐθελήσειεν	et aucun d'eux n'aurait voulu
ἀνελέσθαι ἔχθραν ἰδίαν	se charger d'une haine personnelle
ὑπὲρ συμφορῶν τῶν κοινῶν·	au sujet des calamités publiques ;
οἱ δὲ ἂν ποιήσαντες	les autres, qui auraient fait peut-être
ὁτιοῦν ἀργυρίου,	quoique-ce-fût pour de l'argent,
οὐκ ἔχουσι	n'ont pas (ne trouvent pas)
τὸν δώσοντα αὑτοῖς.	qui *en* donnera à eux.
Ἔγωγε γὰρ οὐκ ἂν ἔδωκα	Car moi certainement je ne donnerais
οὐδὲν οὐδενί,	rien à aucun *d'entre eux*,
ὥστε παραστάντας μοι	à-condition-que, assistant moi,
βοᾶν ἐνταυθὶ	ils criassent en-ce-lieu
οἷα πεπόνθασιν·	quels *maux* ils ont soufferts :
ἡ γὰρ ἀλήθεια	la vérité, en effet,

μὴν ὅ γε δῆμος ὁ τῶν Φωκέων οὕτω κακῶς καὶ ἐλεεινῶς διάκειται, ὥστε μὴ περὶ τοῦ κατηγορεῖν ἑκάστῳ τὰς Ἀθήνησιν εὐθύνας εἶναι τὸν λόγον· ἀλλὰ δουλεύειν, καὶ τεθνάναι τῷ φόβῳ Θηβαίους καὶ τοὺς Φιλίππου ξένους, οὓς ἀναγκάζονται τρέφειν, διῳκισμένοι κατὰ κώμας, καὶ παρῃρημένοι τὰ ὅπλα. Μὴ δὴ ταῦτα λέγειν αὐτὸν ἔᾶτε· ἀλλ' ὡς οὐκ ἀπολώλασι Φωκεῖς δεικνύναι, ἢ ὡς οὐχ ὑπέσχετο σώσειν αὐτοὺς Φίλιππον. Τοῦτο γάρ εἰσι πρεσβείας εὐθύναι· τί πέπρακται; τί ἀπήγγειλας; εἰ μὲν ἀληθῆ, σώζου· εἰ δὲ ψευδῆ, δίκην δός. Εἰ δὲ μὴ πάρεισι Φωκεῖς, τί τοῦτο; οὕτω γὰρ διέθηκας αὐτούς, οἶμαι, τὸ μέρος σύ,

tables, retentissent d'eux-mêmes. Quant à la population restante, sa misère est si déplorable qu'aucun habitant ne peut même songer à se porter accusateur dans une enquête contre des Athéniens. Distribués en bourgades, dépouillés de leurs armes, asservis, ils meurent d'effroi sous la main des Thébains et des troupes mercenaires de Philippe, qu'ils sont forcés de nourrir. Ne laissez donc pas Eschine parler ainsi; mais qu'il démontre, ou que les Phocidiens n'ont pas été ruinés, ou qu'il n'a pas promis que Philippe les sauverait. Oui, voici, sur l'ambassade, l'enquête tout entière : Qu'est-il arrivé? qu'as-tu annoncé? Rapporteur véridique, sois absous; imposteur, sois puni. Les Phocidiens ne se présentent pas : que conclure de là, sinon que tu les a

καὶ τὰ πεπραγμένα	et les choses accomplies
αὐτὰ βοᾷ.	elles-mêmes crient.
Ἀλλὰ μὴν	D'ailleurs, certes,
ὅ γε δῆμος ὁ τῶν Φωκέων	le peuple des Phocidiens
διάκειται	est-dans-une-situation
κακῶς	mal (malheureuse)
καὶ ἐλεεινῶς	et pitoyablement (et déplorable)
οὕτως ὥστε	au point que
μὴ εἶναι τὸν λόγον	ne pas être question
ἑκάστῳ	pour chacun *d'eux*
περὶ τοῦ κατηγορεῖν	d'intenter-une-accusation
τὰς εὐθύνας	en-reddition-de-comptes
Ἀθήνησιν·	à Athènes;
ἀλλὰ δουλεύειν,	mais *au point d'*être esclaves,
καὶ τεθνάναι τῷ φόβῳ	et *de* mourir de peur,
Θηβαίους	*redoutant* les Thébains
καὶ τοὺς ξένους Φιλίππου,	et les *soldats* étrangers de Philippe,
οὓς ἀναγκάζονται τρέφειν,	qu'ils sont forcés de nourrir,
διῳκισμένοι	administrés-séparément
κατὰ κώμας,	par bourgades,
καὶ παρῃρημένοι τὰ ὅπλα.	et privés de *leurs* armes.
Μὴ δὴ ἐᾶτε	Ne laissez donc point
αὐτὸν λέγειν ταῦτα·	lui (Eschine) dire cela;
ἀλλὰ δεικνύναι	mais *obligez-le à* prouver
ὡς Φωκεῖς οὐκ ἀπολώλασιν,	que les Phocidiens n'ont pas péri,
ἢ ὡς οὐχ ὑπέσχετο	ou qu'il ne promit point
Φίλιππον σώσειν αὐτούς.	*que* Philippe sauverait eux.
Εὐθύναι γὰρ	Car les comptes-à-rendre
πρεσβείας	de l'ambassade
εἰσὶ τοῦτο·	sont ceci (se réduisent à ceci) :
Τί πέπρακται;	Qu'a-t-il été fait?
τί ἀπήγγειλας;	que déclaras-tu-dans-tes-rapports?
εἰ μὲν ἀληθῆ,	si *tu déclaras* la vérite,
σώζου·	sois acquitté;
εἰ δὲ ψευδῆ,	mais si des mensonges,
δὸς δίκην.	donne justice (sois puni).
Εἰ δὲ Φωκεῖς	Que si les Phocidiens
μὴ πάρεισι,	ne sont-pas-présents *à ce procès,*
τί τοῦτο;	quoi cela *signifie-t-il?*
σὺ γὰρ τὸ μέρος	c'est que toi, pour *ta* part,

ὥστε μήτε τοῖς φίλοις βοηθεῖν, μήτε τοὺς ἐχθροὺς ἀμύνεσθαι δύνασθαι.

Καὶ μήν, ὅτι χωρὶς τῆς ἄλλης αἰσχύνης καὶ ἀδοξίας, ἣν τὰ πεπραγμέν' ἔχει, καὶ μεγάλοι κίνδυνοι περιεστᾶσιν ἐκ τούτων τὴν πόλιν, ῥᾴδιον δεῖξαι. Τίς γὰρ οὐκ οἶδεν ὑμῶν, ὅτι τῷ Φωκέων πολέμῳ, καὶ τῷ κυρίους εἶναι Πυλῶν Φωκέας, ἤ τ' ἀπὸ Θηβαίων ἄδεια ὑπῆρχεν ἡμῖν, καὶ τὸ μηδέποτ' ἂν ἐλθεῖν εἰς Πελοπόννησον, μηδ' εἰς Εὔβοιαν, μηδ' εἰς τὴν Ἀττικὴν Φίλιππον μηδὲ Θηβαίους; Ταύτην μέντοι τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν πραγμάτων αὐτῶν ἀσφάλειαν ὑπάρχουσαν τῇ πόλει, ταῖς τούτων ἀπάταις καὶ ψευδολογίαις πεισθέντες, προήκασθ' ὑμεῖς· καὶ τετειχισμένην ὅπλοις, καὶ πολέμῳ συνεχεῖ, καὶ πόλεσι μεγάλαις συμμάχων ἀνδρῶν, καὶ χώρᾳ πολλῇ περιείδετ' ἀναστα-

réduits, pour ta part, à ne pouvoir pas plus repousser leurs ennemis que soutenir leurs amis ?

Mais il y a, dans cet événement, autre chose que de la honte et du déshonneur : il enveloppe Athènes de périls dont l'existence est facile à prouver. Qui de vous ignore que les Phocidiens, par leur guerre, par la pleine possession des Thermopyles, nous mettaient à couvert des Thébains, et leur fermaient, ainsi qu'à Philippe, l'entrée du Péloponèse, de l'Eubée et de l'Attique? Eh bien! cette sécurité que la position des lieux, que des hostilités même procuraient à la république, vous l'avez sacrifiée aux déceptions et aux mensonges de ces traîtres; ce rempart qu'élevaient autour de vous des armées nombreuses, une guerre continuelle, les villes puissantes d'un peuple

διέθηκας, οἶμαι, αὐτοὺς
οὕτως ὥςτε δύνασθαι
μήτε βοηθεῖν τοῖς φίλοις,
μήτε ἀμύνεσθαι τοὺς ἐχθρούς.
Καὶ μὴν ῥᾴδιον δεῖξαι
ὅτι καὶ μεγάλοι κίνδυνοι
περιεστᾶσι τὴν πόλιν
ἐκ τούτων,
χωρὶς τῆς ἄλλης αἰσχύνης
καὶ ἀδοξίας,
ἣν τὰ πεπραγμένα ἔχει.
Τίς γὰρ ὑμῶν οὐκ οἶδεν
ὅτι τῷ πολέμῳ Φωκέων
καὶ τῷ Φωκέας
εἶναι κυρίους
Πυλῶν,
ἥ τε ἄδεια
ἀπὸ Θηβαίων
ὑπῆρχεν ἡμῖν,
καὶ τὸ Φίλιππον
μηδὲ Θηβαίους
μηδέποτε ἂν ἐλθεῖν
εἰς Πελοπόννησον,
μηδὲ εἰς Εὔβοιαν,
μηδὲ εἰς τὴν Ἀττικήν;
Πεισθέντες μέντοι
ταῖς ἀπάταις
καὶ ψευδολογίαις τούτων,
ὑμεῖς προήκασθε
ταύτην ἀσφάλειαν
τὴν ὑπάρχουσαν τῇ πόλει
ἀπὸ τοῦ τόπου
καὶ τῶν πραγμάτων αὐτῶν·
καὶ περιείδετε
ἀναστατωθεῖσαν
τετειχισμένην
ὅπλοις,
καὶ πολέμῳ συνεχεῖ,
καὶ μεγάλαις πόλεσιν
ἀνδρῶν συμμάχων,

tu as réduit, je crois, eux
à ce point de ne pouvoir
ni secourir *leurs* amis,
ni repousser *leurs* ennemis.
D'ailleurs *il est* facile de démontrer
que même de grands périls
environnent la République
par-suite-de ces *faits*,
indépendamment de l'autre honte
et déshonneur,
que les faits contiennent.
Qui de vous, en effet, ne sait
que par la guerre des Phocidiens
et par ceci *que* les Phocidiens
être (sont) maîtres
des Thermopyles,
et l'absence-de-crainte
du-côté des Thébains
était à nous, [voir Philippe)
ainsi-que le Philippe (l'avantage de
ni les Thébains
ne jamais pouvoir entrer
dans le Péloponèse,
ni en Eubée,
ni en Attique?
Persuadés cependant
par les fourberies
et les impostures de ces *hommes*,
vous avez rejeté
cette sécurité
résultant pour la République
du lieu (de la situation des lieux)
et des choses elles-mêmes;
et vous avez vu-avec-indifférence
renversée [rempart
elle qui était entourée-*comme*-d'un-
par des armes,
et par une guerre continuelle,
et par de grandes villes
d'hommes *qui étaient nos* alliés,

θεῖσαν. Καὶ ματαία μὲν ἡ πρότερον βοήθεια εἰς Πύλας ὑμῖν γέγονεν, ἣν μετὰ πλειόνων ἢ διακοσίων ταλάντων ἐποιήσασθε, ἂν λογίσησθε τὰς ἰδίας δαπάνας τὰς τῶν στρατευσαμένων· μάταιαι δὲ καὶ αἱ κατὰ Θηβαίων ἐλπίδες.

Ὁ δέ, πολλῶν ὄντων καὶ δεινῶν, ὧν οὗτος ὑπηρέτηκε Φιλίππῳ, πλείστην ὕβριν ὡς ἀληθῶς ἔχει κατὰ τῆς πόλεως καὶ ἁπάντων ὑμῶν, τοῦτ' ἀκούσατέ μου· ὅτι τοῖς Θηβαίοις ἐγνωκότος ἐξ ἀρχῆς τοῦ Φιλίππου πάνθ' ἃ πεποίηκε ποιεῖν, οὗτος ἀπαγγείλας τἀναντία, καὶ φανεροὺς ἐπιδείξας ὑμᾶς οὐχὶ βουλομένους, ὑμῖν μὲν τὴν ἔχθραν τὴν πρὸς Θηβαίους μείζω, Φιλίππῳ δὲ τὴν χάριν πεποίηκεν. Πῶς ἂν οὖν ὑβριστικώτερον

allié, de vastes contrées, vous l'avez laissé abattre. Vainement avez-vous envoyé aux Thermopyles un premier secours qui coûta plus de deux cents talents, si l'on compte les dépenses personnelles; vainement aussi avez-vous espéré l'humiliation des Thébains.

Parmi tant de criminels services que rendait Eschine à son patron, voici le plus insultant pour la République et pour chaque citoyen. Philippe avait, dès le principe, résolu de favoriser les Thébains dans toutes ses opérations : en vous rapportant le contraire, en produisant au grand jour votre aversion pour eux, l'accusé a fortifié leur haine contre vous et leur attachement au monarque. Or,

καὶ χώρᾳ πολλῇ.
Καὶ ἡ βοήθεια μὲν
πρότερον
εἰς Πύλας
γέγονε ματαία ὑμῖν,
ἣν ἐποιήσασθε
μετὰ ταλάντων
πλειόνων
ἢ διακοσίων,
ἂν λογίσησθε
τὰς δαπάνας ἰδίας
τὰς τῶν στρατευσαμένων,
καὶ αἱ ἐλπίδες δὲ
κατὰ Θηβαίων
μάταιαι.
Ἀκούσατε δέ μου
τοῦτο, ὃ ἔχει
πλείστην ὕβριν
ὡς ἀληθῶς
κατὰ τῆς πόλεως
καὶ ὑμῶν ἁπάντων,
πολλῶν
καὶ δεινῶν ὄντων,
ὧν οὗτος
ὑπηρέτηκε Φιλίππῳ·
ὅτι τοῦ Φιλίππου
ἐγνωκότος ἐξ ἀρχῆς
ποιεῖν τοῖς Θηβαίοις
πάντα ἃ πεποίηκεν,
οὗτος ἀπαγγείλας τὰ ἐναντία,
καὶ ἐπιδείξας φανεροὺς
ὑμᾶς οὐχὶ βουλομένους,
πεποίηκεν
ὑμῖν μὲν
τὴν ἔχθραν
τὴν πρὸς Θηβαίους
μείζω,
Φιλίππῳ δὲ
τὴν χάριν.
Πῶς οὖν ἄνθρωπος

et par une contrée étendue.
Et un secours, il est vrai,
envoyé en-premier-lieu
aux Thermopyles
est devenu sans-résultat pour vous,
lequel *secours* vous fîtes (préparâtes)
avec des talents
en-plus-grand-nombre
que deux-cents,
si vous comptez
les dépenses personnelles
de ceux qui-firent-l'expédition,
et, d'autre part, les espérances
conçues contre les Thébains
sont devenues illusoires.
Apprenez de moi
ce qui a (contient)
le plus grand outrage
véritablement
contre la cité
et *contre* vous tous,
beaucoup *de crimes*
et de très-graves étant,
par lesquels cet *homme*
a servi Philippe :
cela consiste en ce que, Philippe
ayant résolu dès le commencement
de faire *dans l'intérêt des* Thébains
tout ce qu'il a fait,
celui-ci, rapportant le contraire,
et montrant évidents (évidemment)
vous ne *le* voulant (que vous ne le
a fait (a causé) [vouliez) pas
à vous, d'un côté,
la haine
celle de la part des Thébains
plus grande,
et à Philippe, d'un autre côté,
leur affection.
Comment donc individu

ὑμῖν ἄνθρωπος ἐχρήσατο; Λέγε δὴ τὸ ψήφισμα λαβὼν τὸ τοῦ Διοφάντου, καὶ τὸ τοῦ Καλλισθένους[1], ἵν' εἰδῆτε, ὅτι, ὅτε μὲν τὰ δέοντ' ἐποιεῖτε, θυσιῶν καὶ ἐπαίνων ἠξιοῦσθε παρ' ὑμῖν αὐτοῖς, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν· ἐπειδὴ δὲ ὑπὸ τούτων παρεκρούσθητε, παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν μετεκομίζεσθε, καὶ τὰ Ἡράκλεια ἐντὸς τείχους θύειν ἐψηφίζεσθε[2], εἰρήνης οὔσης. Ὃ καὶ θαυμάζω, εἰ τὸν μηδὲ τοὺς θεούς, καθ' ὃ πάτριον ἦν, τιμᾶσθαι ποιήσαντα, τοῦτον ἀτιμώρητον ἀφήσετε. Λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Ταῦτα μὲν τότε ἄξια, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πεπραγμένων ἐψηφίσασθε. Λέγε δὴ τὰ μετὰ ταῦτα.

ΨΗΦΙΣΜΑ.

Ταῦτα τότ' ἐψηφίζεσθ' ὑμεῖς διὰ τούτους, οὐκ ἐπὶ ταύταις

pouvait-il, cet homme, vous jouer plus insolemment? Prends et lis le décret de Diophante et celui de Callisthène. Vous allez le reconnaître, Athéniens : quand vous faisiez votre devoir, on vous célébrait par des louanges, par des sacrifices, et dans vos murs et chez les autres Hellènes; mais, lorsque des perfides vous eurent égarés, il fallut retirer de la campagne vos enfants et vos femmes, il fallut, en pleine paix, décréter que les fêtes d'Hercule seraient solennisées dans la ville. Ah! ma surprise sera grande si vous ne punissez point celui qui ne vous a pas même laissé honorer les dieux selon les rites de vos ancêtres. — Lis.

DÉCRET DE DIOPHANTE.

Tels furent alors vos ordres, ô Athéniens, ils étaient dignes de vous. — Poursuis.

DÉCRET DE CALLISTHÈNE.

Voilà ce que, plus tard, ces hommes vous forçaient de statuer.

ἂν ἐχρήσατο ὑμῖν
ὑβριστικώτερον;
Λέγε δὴ λαβὼν
τὸ ψήφισμα τὸ τοῦ Διοφάντου,
καὶ τὸ τοῦ Καλλισθένους,
ἵνα εἰδῆτε ὅτι,
ὅτε μὲν ἐποιεῖτε τὰ δέοντα,
ἠξιοῦσθε
θυσιῶν καὶ ἐπαίνων
παρὰ ὑμῖν αὐτοῖς,
καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν·
ἐπειδὴ δὲ
παρεκρούσθητε ὑπὸ τούτων,
μετεκομίζεσθε ἐκ τῶν ἀγρῶν
παῖδας καὶ γυναῖκας,
καὶ ἐψηφίζεσθε
θύειν τὰ Ἡράκλεια
ἐντὸς τείχους,
εἰρήνης οὔσης.
Ὃ καὶ θαυμάζω,
εἰ ἀφήσετε ἀτιμώρητον
τοῦτον, τὸν ποιήσαντα
μηδὲ τοὺς θεοὺς
τιμᾶσθαι
κατὰ ἃ ἦν
πάτριον.
Λέγε τὸ ψήφισμα.

se serait-il joué de vous
plus insolemment?
Lis donc, *l'*ayant pris,
le décret de Diophante,
et celui de Callisthène,
afin que vous sachiez que,
lorsque vous faisiez ce-qu'il-faut,
vous étiez honorés
de sacrifices et de louanges
chez vous-mêmes,
et chez les autres Hellènes;
mais que, depuis que
vous fûtes trompés par ceux-ci,
vous faisiez-transporter de la cam-
enfants et femmes, [pagne
et vous ordonniez-par-décret
de célébrer les fêtes-d'Hercule
dans-l'intérieur des murs,
la paix étant (en pleine paix).
A raison de quoi je m'étonne encore
si vous renverrez impuni
cet *homme*, qui a fait *en sorte que*
pas même les dieux
ne fussent honorés
conformément à ce qui était
l'usage des-aïeux.
Lis le décret.

ΨΗΦΙΣΜΑ.

Ὦ ἄνδρες Ἀθηναῖοι,
ἐψηφίσασθε τότε μὲν
ταῦτα, ἄξια
τῶν πεπραγμένων.
Λέγε δὴ
τὰ μετὰ ταῦτα.

DÉCRET.

O hommes Athéniens,
vous ordonnâtes-par-décret alors
ces choses, *qui étaient* dignes [*vous.*
de celles faites *ordinairement par*
Lis donc
les *mesures ordonnées* après cela.

ΨΗΦΙΣΜΑ.

Ὑμεῖς ἐψηφίζεσθε τότε
ταῦτα
διὰ τούτους,

DÉCRET.

Vous décrétiez alors
ces choses
par-l'influence-de ces *députés*,

ταῖς ἐλπίσιν οὔτε κατ' ἀρχὰς ποιησάμενοι τὴν εἰρήνην καὶ τὴν συμμαχίαν, οὔθ' ὕστερον ἐγγράψαι πεισθέντες αὐτῇ, καὶ τοῖς ἐκγόνοις· ἀλλ' ὡς θαυμάσι' ἡλίκα πεισόμενοι διὰ τούτους ἀγαθά.

Καὶ μὴν καὶ μετὰ ταῦθ' δσάκις πρὸς Πορθμῷ ἢ πρὸς Μεγάροις ἀκούοντες δύναμιν Φιλίππου καὶ ξένους, ἐθορυβεῖσθε, πάντες ἐπίστασθε. Οὐ τοίνυν, εἰ μήπω τῆς Ἀττικῆς ἐπιβαίνει, δεῖ σκοπεῖν, οὐδὲ ῥᾳθυμεῖν, ἀλλ' εἰ διὰ τούτους ἐξουσία γέγονεν αὐτῷ τοῦθ' ὅταν βούληται ποιῆσαι, τοῦθ' ὁρᾶν, καὶ πρὸς ἐκεῖνο τὸ δεινὸν βλέπειν, καὶ τὸν αἴτιον καὶ τὸν παρασκευάσαντα τὴν ἐξουσίαν ταύτην ἐκείνῳ μισεῖν καὶ τιμωρεῖσθαι.

Οἶδα τοίνυν ὅτι τοὺς μὲν ὑπὲρ τῶν κατηγορημένων αὑτοῦ λόγους Αἰσχίνης φεύξεται· βουλόμενος δ' ὑμᾶς ὡς ῥᾳθυμοτάτω

Ah! ce n'était pas dans cet espoir que vous aviez d'abord conclu la paix et l'alliance, et qu'ensuite vous les étendîtes, par séduction, à vos descendants : c'est parce que vous deviez en recueillir, par les mains des députés, des avantages prodigieux. Cependant vous savez tous quel bouleversement causa plus tard, parmi vous, chaque nouvelle de l'arrivée de Philippe, avec son armée et ses étrangers soldés, près de Porthmos, près de Mégare. Il ne foule pas encore le sol de l'Attique; mais il n'y a là ni matière à examen, ni motif de sécurité. Peut-il, grâce à vos députés, y entrer quand il voudra? voilà ce qu'il faut considérer, voilà le péril qui doit fixer vos regards, et appeler sur son auteur, sur l'intrigant qui a ménagé au conquérant un tel avantage, votre haine et votre vengeance.

Eschine, je le sais, évitera de répondre à mes accusations; et, pour vous entraîner le plus loin possible des faits, il parcourra et

οὔτε ποιησάμενο
τὴν εἰρήνην καὶ τὴν συμμαχίαν
κατὰ ἀρχάς,
οὔτε πεισθέντες
ἐγγράψαι αὐτῇ
ὕστερον,
καὶ τοῖς ἐκγόνοις,
οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσιν·
ἀλλὰ ὡς πεισόμενοι
διὰ τούτους
ἀγαθὰ
θαυμάσια ἡλίκα.
Καὶ μὴν πάντες ἐπίστασθε
ὁσάκις καὶ μετὰ ταῦτα
ἐθορυβεῖσθε ἀκούοντες
δύναμιν
καὶ ξένους Φιλίππου
πρὸς Πορθμῷ
ἢ πρὸς Μεγάροις.
Οὐ τοίνυν δεῖ σκοπεῖν
εἰ μήπω ἐπιβαίνει
τῆς Ἀττικῆς,
οὐδὲ ῥᾳθυμεῖν,
ἀλλὰ ὁρᾶν τοῦτο,
εἰ ἐξουσία γέγονεν αὐτῷ
διὰ τούτους
ποιῆσαι τοῦτο
ὅταν βούληται,
καὶ βλέπειν
πρὸς ἐκεῖνο τὸ δεινόν,
καὶ μισεῖν καὶ τιμωρεῖσθαι
τὸν αἴτιον
καὶ τὸν παρασκευάσαντα
ἐκείνῳ
τὴν ἐξουσίαν ταύτην.
Οἶδα τοίνυν
ὅτι Αἰσχίνης φεύξεται μὲν
λόγους τοὺς ὑπὲρ
τῶν κατηγορημένων αὑτοῦ·
βουλόμενος δὲ

n'ayant (quoique vous n'eussiez) pas
la paix et l'alliance [fait
dès le principe, [siez pas engagés)
ni étant engagés (quoique vous ne fus-
à inscrire-dans lui (dans le traité)
plus tard,
aussi pour les descendants,
non pour de telles espérances ;
mais comme devant éprouver
par-le-moyen-de ces *hommes*
des avantages [leux).
merveilleux combien (très-merveil-
Cependant tous vous savez
combien-de-fois même après cela
vous étiez troublés en apprenant
que les forces
et les *soldats* étrangers de Philippe
s'approchaient de Porthmos
ou de Mégare.
Or, il ne faut point examiner
si *Philippe* n'entre pas encore
en Attique,
ni se-livrer-à-l'indolence,
mais *il faut* voir ceci,
si possibilité est advenue à lui
par-le-moyen-de ces *députés*
de faire cela (d'entrer en Attique)
quand il voudra,
et *il faut* tourner-vos-regards
vers ce grand-péril,
et détester et punir
celui qui-*en*-fut-cause
et qui procura-par-intrigues
à ce *prince*
cette facilité-là.
Je sais encore
qu'Eschine évitera, d'une part,
les discours (de parler) sur
les accusations-intentées contre lui ;
et *que*, d'autre part, voulant

τῶν πεπραγμένων ἀπάγειν, διέξεισιν, ἡλίκα πᾶσιν ἀνθρώποις ἀγαθὰ ἐκ τῆς εἰρηνης γίγνεται, καὶ τοὐναντίον ἐκ τοῦ πολέμου κακά· καὶ ὅλως ἐγκώμια εἰρήνης ἐρεῖ, καὶ τοιαῦτα ἀπολογήσεται. Ἔστι δὲ καὶ ταῦτα πάντα κατηγορήματα τούτου. Εἰ γὰρ ἡ τοῖς ἄλλοις ἀγαθῶν αἰτία, τοσούτων πραγμάτων καὶ ταραχῆς ἡμῖν αἰτία γέγονε, τί τις εἶναι τοῦτο φῇ, πλὴν ὅτι δῶρα λαβόντες οὗτοι καλὸν πρᾶγμα φύσει κακῶς διέθηκαν; « Τί δέ; οὐ τριήρεις τριακόσιαι, καὶ σκεύη ταύταις, καὶ κτήμαθ' ὑμῖν περίεστι καὶ περιέσται, διὰ τὴν εἰρήνην; » ἴσως ἂν εἴποι. Πρὸς δὴ ταῦτ' ἐκεῖν' ὑμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ τὰ Φιλίππου πράγματ' ἐκ τῆς εἰρήνης γέγονεν εὐπορώτερα πολλῷ,

tous les avantages que la paix procure aux peuples, et tous les maux que la guerre enfante; pour toute justification, en un mot, il fera l'éloge de la paix. Mais cet éloge même le condamne! car si la paix, source de bonheur pour les autres, est devenue pour nous la cause de tant de troubles et de dangers, que conclure de là? que, gagnés par des présents, ces hommes ont vicié le bien même dans son essence. « Mais quoi! dira-t-il peut-être, la paix ne vous laisse et ne vous assure-t-elle pas trois cents trirèmes avec leurs agrès, et de l'argent dans le Trésor? » A cela répondez que cette même paix a élevé Philippe bien plus haut, en augmentant beaucoup et ses mu-

ἀπάγειν ὑμᾶς	éloigner vous
ὡς ποῤῥωτάτω	le plus loin possible
τῶν πεπραγμένων,	des faits,
διέξεισιν ἡλίκα ἀγαθὰ	il exposera quels-grands biens
γίγνεται ἐκ τῆς εἰρήνης	naissent de la paix
πᾶσιν ἀνθρώποις,	pour tous les hommes,
καὶ τὸ ἐναντίον κακὰ	et, au contraire, *quels grands* maux
ἐκ τοῦ πολέμου·	*naissent* de la guerre;
καὶ ὅλως ἐρεῖ	et, en somme, il dira
ἐγκώμια εἰρήνης,	les louanges de la paix,
καὶ ἀπολογήσεται	et fera-rouler-son-apologie
τοιαῦτα.	sur de telles choses.
Καὶ ταῦτα δὲ πάντα	Certes toutes ces choses-là
ἔστι κατηγορήματα	sont des accusations
τούτου.	contre cet *homme*.
Εἰ γὰρ ἡ αἰτία	Car si *la paix, qui est* la cause
ἀγαθῶν τοῖς ἄλλοις	des biens pour les autres
γέγονεν ἡμῖν αἰτία	est devenue pour nous cause
τοσούτων πραγμάτων	de si grands embarras
καὶ ταραχῆς,	et d'un *tel* trouble,
τί τις φῇ	quoi dirait-on [on),
τοῦτο εἶναι,	cela être (comment l'expliquerait-
πλὴν ὅτι οὗτοι	si *ce* n'*est* que ces *hommes*,
λαβόντες δῶρα	ayant reçu des présents,
διέθηκαν κακῶς	disposèrent mal (pervertirent)
πρᾶγμα καλὸν φύσει;	chose bonne de sa nature ?
« Τί δέ;	« Mais quoi !
τριακόσιαι τριήρεις,	*est-ce que* trois cents trirèmes,
καὶ σκεύη ταύταις,	et des agrès pour elles,
καὶ κτήματα	et des sommes-d'argent
οὐ περίεστι	ne restent pas
καὶ περιέσται ὑμῖν	et ne resteront point à vous,
διὰ τὴν εἰρήνην; »	par-l'effet-de la paix ? »
ἴσως ἂν εἴποι.	peut-être dirait *Eschine*.
Δεῖ δὴ ὑμᾶς ὑπολαμβάνειν	Il faut certes *que* vous répondiez
πρὸς ταῦτα ἐκεῖνο,	à ces choses celle-ci,
ὅτι καὶ τὰ πράγματα Φιλίππου	que, aussi les affaires de Philippe
γέγονεν ἐκ τῆς εἰρήνης	sont devenues par la paix
εὐπορώτερα πολλῷ	plus florissantes de beaucoup
καὶ κατασκευαῖς	et par les approvisionnements

καὶ κατασκευαῖς ὅπλων, καὶ χώραις, καὶ προσόδοις, αἷ γεγόνασιν ἐκείνῳ μεγάλαι. « Γεγόνασι δὲ καὶ ἡμῖν τινές. » Ἡ δέ γε τῶν πραγμάτων κατασκευὴ καὶ τῶν συμμάχων, δι' ἣν ἢ αὐτοῖς, ἢ τοῖς κρείττοσι, τἀγαθὰ πάντες κέκτηνται, ἡ μὲν ἡμετέρα, πραθεῖσ' ὑπὸ τούτων, ἀπόλωλε καὶ γέγονεν ἀσθενής, ἡ δ' ἐκείνου φοβερὰ καὶ μείζων πολλῷ. Οὐ δὴ δίκαιον ἐκείνῳ μὲν ἀμφότερα ηὐξῆσθαι διὰ τούτους, καὶ τὰ τῶν συμμάχων, καὶ τὰ τῶν προσόδων, ἃ δ' ἡμῖν δικαίως ἂν ὑπῆρχεν ἐκ τῆς εἰρήνης, ταῦτ' ἀνθ' ὧν ἀπέδοντο οὗτοι, λογίζεσθαι. Οὐ γὰρ ταῦτ' ἀντ' ἐκείνων γέγονεν· οὐδὲ πολλοῦ δεῖ· ἀλλὰ ταῦτα μὲν ἦν ἂν ὁμοίως ἡμῖν· ἐκεῖνα δὲ τούτοις ἂν προσῆν, εἰ μὴ διὰ τούτους.

nitions, et ses domaines, et ses finances. « Nous aussi, nous avons gagné, dans un sens. » Oui, mais la force qui naît du succès et des alliés, la force, instrument de succès nouveaux chez tous les peuples, et pour eux-mêmes et pour de puissants amis, vendue chez nous par les députés, elle s'est épuisée, elle s'est anéantie, tandis que celle du prince grandit et inspire la terreur. Or, quand Philippe a vu multiplier, par leurs manœuvres, et ses alliés et ses revenus, il serait injuste d'établir, dans notre compte, une balance entre les fruits légitimes de la paix et les possessions qu'ils ont livrées. Non, il n'y a pas eu compensation; loin de là, les premiers de ces biens, calculà part, auraient été à vous, et vous auriez eu les autres par surcroît, sans ces perfidies.

ὅπλων,	d'armes,
καὶ χώραις,	et par les provinces,
καὶ προσόδοις,	et par les revenus,
αἳ γεγόνασι μεγάλαι	lesquels sont devenus considérables
ἐκείνῳ.	pour lui. [*ments et revenus*
« Τινὲς δὲ	« Mais quelques *approvisionne-*
γεγόνασι	sont devenus *considérables*
καὶ ἡμῖν. »	aussi pour nous. »
Ἡ δέ γε κατασκευὴ	Mais, du moins, l'organisation
τῶν πραγμάτων	des affaires
καὶ τῶν συμμάχων,	et des alliés,
δι' ἣν	par laquelle
πάντες κέκτηνται τὰ ἀγαθὰ	tous acquièrent des avantages
ἢ αὑτοῖς,	ou pour eux-mêmes,
ἢ τοῖς κρείττοσι,	ou pour de puissants *amis*,
ἡ μὲν ἡμετέρα,	*j'entends* la nôtre,
προθεῖσα ὑπὸ τούτων,	vendue par ces *députés*,
ἀπόλωλε καὶ γέγονεν ἀσθενής,	a dépéri et est devenue débile,
ἡ δὲ ἐκείνου	et, au contraire, celle de ce *prince*
φοβερὰ	*est devenue* formidable
καὶ μείζων πολλῷ.	et plus grande de beaucoup.
Οὐ δὴ δίκαιον	Il n'*est* certes pas juste
ἀμφότερα,	*que ces* deux *avantages*,
καὶ τὰ τῶν συμμάχων,	et celui des alliés,
καὶ τὰ τῶν προσόδων,	et celui des revenus, [lui
ηὐξῆσθαι ἐκείνῳ μὲν	aient été, d'une part, augmentés pour
διὰ τούτους,	par-l'influence-de ces *hommes*,
λογίζεσθαι δὲ	et de mettre-en-compte, d'autre part,
ταῦτα ἃ ἂν ὑπῆρχε	ces *avantages* qui résulteraient
δικαίως ἡμῖν ἐκ τῆς εἰρήνης,	avec-justice pour nous de la paix,
ἀντὶ	en-compensation-de *ceux*
ὧν οὗτοι ἀπέδοντο.	qu'ils ont vendus.
Ταῦτα γὰρ οὐ γέγονεν	Car ceux-ci ne sont pas advenus
ἀντὶ ἐκείνων·	en-compensation-de ceux-là ;
οὐδὲ δεῖ πολλοῦ·	non, il-s'en-faut de beaucoup :
ἀλλὰ ταῦτα μὲν ἦν ἂν ἡμῖν	mais ceux-ci seraient à nous
ὁμοίως·	également (dans tous les cas) ;
ἐκεῖνα δὲ	et ceux-là
ἂν προσῆν τούτοις,	seraient-*à-nous*-outre ceux-ci,
εἰ μὴ διὰ τούτους.	si *ce* n'*était* à cause de ces *hommes*

Ὅλως δέ, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιον δήπου φήσαιτ' ἂν εἶναι μήτ', εἰ πολλὰ καὶ δεινὰ τὰ συμβεβηκότα ἐστὶ τῇ πόλει, μηδενὸς δ' Αἰσχίνης αἴτιος τούτων, εἰς τοῦτον ἐλθεῖν τὴν ὀργήν, μήτ', εἴ τι τῶν δεόντων πέπραχται δι' ἄλλον τινά, τοῦτο σῶσαι τουτονί· ἀλλ' ὅσων οὗτος αἴτιος σκεψάμενοι, καὶ χάριν, ἂν ταύτης ἄξιος ᾖ, καὶ τοὐναντίον ὀργήν, ἂν τοιαῦτα φαίνηται, ποιεῖσθε. Πῶς οὖν εὑρήσετε ταῦτα ὀικαίως; ἐὰν μὴ πάνθ' ἅμα ταράττειν αὐτὸν ἐᾶτε, τὰ τῶν στρατηγῶν ἀδικήματα, τὸν πόλεμον τὸν πρὸς Φίλιππον, τἀπὸ τῆς εἰρήνης ἀγαθά· ἀλλ' ἕκαστον ἐφ' ἑαυτοῦ σκοπῆτε· οἷον· ἦν ἡμῖν πόλεμος πρὸς Φίλιππον; ἦν. Ἐνταῦθ' ἐγκαλεῖ τις Αἰσχίνῃ; βούλεταί τις τούτου κατηγορεῖν περὶ τῶν ἐν τῷ πολέμῳ πραχθέντων; οὐδὲ εἷς· οὐκοῦν περὶ τού-

En un mot, Athéniens, l'équité veut que, malgré le nombre et la gravité des disgrâces de la patrie, si Eschine n'y a pas contribué, il soit à l'abri de votre colère; mais il est juste aussi que les avantages procurés par d'autres ne profitent pas à sa défense. Examinez donc tout ce qui fut son ouvrage, et montrez-lui de la reconnaissance s'il en mérite, du ressentiment si sa culpabilité devient évidente. Or, comment trouverez-vous la vérité? en ne lui permettant pas de tout confondre, fautes des généraux, guerre avec Philippe, fruits de la paix; en considérant chaque objet à part. Exemple : Étions-nous en guerre avec Philippe? oui. Ici, quelqu'un accuse-t-il Eschine, et veut-il le rendre responsable des événements de la guerre? non. A cet

Ὅλως δέ,
ὦ ἄνδρες Ἀθηναῖοι,
φήσαιτε ἂν δήπου
εἶναι δίκαιον,
μήτε τὴν ὀργὴν ἐλθεῖν
εἰς τοῦτον,
εἰ τὰ
συμβεβηκότα τῇ πόλει
ἐστὶ πολλὰ καὶ δεινά,
Αἰσχίνης δὲ αἴτιος
μηδενὸς τούτων,
μήτε, εἴ τι
τῶν δεόντων
πέπρακται διά τινα ἄλλον,
τοῦτο σῶσαι
τουτονί·
ἀλλά, σκεψάμενοι
ὅσων οὗτος αἴτιος,
καὶ ποιεῖσθε χάριν,
ἂν ᾖ ἄξιος ταύτης,
καὶ τὸ ἐναντίον ὀργήν,
ἂν τοιαῦτα
φαίνηται.
Πῶς οὖν εὑρήσετε
ταῦτα δικαίως;
ἐὰν μὴ ἐᾶτε
αὐτὸν ταράττειν ἅμα πάντα,
τὰ ἀδικήματα τῶν στρατηγῶν,
τὸν πόλεμον τὸν πρὸς Φίλιππον,
ἀγαθὰ τὰ ἀπὸ τῆς εἰρήνης·
ἀλλὰ σκοπῆτε
ἕκαστον ἐπὶ ἑαυτοῦ·
οἷον·
πόλεμος ἦν ἡμῖν
πρὸς Φίλιππον;
ἦν.
Ἐνταῦθά
τις ἐγκαλεῖ Αἰσχίνῃ;
τὶς βούλεται κατηγορεῖν τούτου
περὶ τῶν πραχθέντων

Généralement,
ô hommes Athéniens,
vous affirmeriez certainement
*qu'*il est juste, [(ne s'élève)
que ni *votre* ressentiment ne vienne
contre cet *accusé*,
si les *maux*
survenus sur la République
sont nombreux et très-graves,
et si Eschine cependant *n'a été* cause
d'aucun d'eux,
et *que* non plus, si quelqu'un
des *actes* qu'il-fallait
a été accompli par quelque autre,
cette *circonstance* fasse-absoudre
cet *homme* :
mais, ayant (après avoir) examiné
de quels *résultats* celui-ci *fut* cause,
et faites-*lui* (accordez-lui) faveur,
s'il est digne d'elle,
et, au contraire, courroux,
si des *résultats* tels (dignes de cour-
apparaissent. [roux)
Comment donc trouverez-vous
cela avec-justesse?
si vous ne laissez pas
lui brouiller ensemble toutes choses,
les fautes des généraux,
la guerre contre Philippe,
les avantages de la paix;
mais si vous considérez
chaque *objet* en lui-même;
tel que (par exemple) :
guerre était-elle à nous
avec Philippe?
elle était.
Ici (sur ce point)
quelqu'un met-il-en-cause Eschine?
quelqu'un veut-il accuser cet *homme*
au sujet des choses faites

των γε ἀφεῖται, καὶ οὐδὲν αὐτὸν δεῖ λέγειν. Περὶ γὰρ τῶν ἀμφισβητουμένων καὶ τους μάρτυρας παρέχεσθαι, καὶ τὰ τεκμήρια δεῖ λέγειν τὸν φεύγοντα, οὐ τὰ ὁμολογούμεν' ἀπολογούμενον ἐξαπατᾷν. Ὅπως τοίνυν περὶ τοῦ πολέμου μηδὲν ἐρεῖς· οὐδεὶς γὰρ οὐδὲν αἰτιᾶταί σε περὶ αὐτοῦ. Μετὰ ταῦτα, εἰρήνην τινὲς ἡμᾶς ἔτ ειθον ποιήσασθαι. Ἐπείσθημεν. Πρέσβεις ἐπέμψαμεν. Ἤγαγον οὗτοι δεῦρο τοὺς ποιησομένους τὴν εἰρήνην. Πάλιν ἐνταῦθα περὶ τούτων μέμφεταί τις Αἰσχίνην; φησί τις εἰσηγήσασθαι τοῦτον τὴν εἰρήνην, ἢ ἀδικεῖν, ὅτι δεῦρ' ἤγαγε τοὺς ποιησομένους; οὐδὲ εἷς. Οὔκουν οὐδ' ὑπὲρ αὐτοῦ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην, οὐδὲν αὐτῷ λεκτέον. Οὐ γὰρ οὗτος αἴτιος.

Τί οὖν, ἄνθρωπε, λέγεις, εἴ τις ἔροιτό με, καὶ πόθεν ἄρχῃ

égard il est donc justifié, il n'a pas un mot à dire. Car c'est sur les points controversés qu'un accusé doit présenter et des témoins et des arguments : mais qu'il ne donne pas le change, en attestant des faits incontestés. Ne viens donc pas nous parler de la guerre, pour laquelle personne ne te fait le procès. Poursuivons : on nous a conseillé la paix; persuadés, nous avons envoyé des ambassadeurs; ils en ont amené d'autres, avec pouvoir de conclure. Ici encore quelqu'un blâme-t-il Eschine ? quelqu'un dit-il : « Eschine a pris l'initiative de la paix ; Eschine a prévariqué en amenant des députés pour la faire ? » non. Qu'il se taise donc aussi sur la paix conclue par la République ; il en est innocent.

Que prétends-tu donc, Démosthène, dira-t-on, et où commences-tu

ἐν τῷ πολέμῳ;
οὐδὲ εἷς·
οὐκοῦν ἀφεῖται
περὶ τούτων γε,
καὶ δεῖ αὐτὸν λέγειν οὐδέν.
Δεῖ γὰρ
τὸν φεύγοντα
καὶ παρέχεσθαι τοὺς μάρτυρας
καὶ λέγειν τὰ τεκμήρια
περὶ τῶν ἀμφισβητουμένων,
οὐχ ἑξαπατᾷν
ἀπολογούμενον
τὰ ὁμολογούμενα.
Ὅπως τοίνυν ἐρεῖς
μηδὲν περὶ τοῦ πολέμου·
οὐδεὶς γὰρ αἰτιᾶταί σε
οὐδὲν περὶ αὐτοῦ.
Μετὰ ταῦτα,
τινὲς ἔπειθον ἡμᾶς
ποιήσασθαι εἰρήνην.
Ἐπείσθημεν.
Ἐπέμψαμεν πρέσβεις.
Οὗτοι ἦγαγον δεῦρο
τοὺς ποιησομένους
τὴν εἰρήνην.
Ἐνταῦθα πάλιν
τὶς μέμφεται Αἰσχίνην
περὶ τούτων;
τὶς φησὶ
τοῦτον εἰσηγήσασθαι
τὴν εἰρήνην, ἢ ἀδικεῖν,
ὅτι ἦγαγε δεῦρο
τοὺς ποιησομένους; οὐδὲ εἷς.
Οὔκουν οὐδὲν λεκτέον αὐτῷ
οὐδὲ ὑπὲρ αὐτοῦ
τοῦ τὴν πόλιν
ποιήσασθαι εἰρήνην.
Οὗτος γὰρ οὐκ αἴτιος.
Εἴ τις ἔροιτό με,
τί οὖν λέγεις, ἄνθρωπε,

à la guerre?
pas même un (personne) :
donc il est acquitté [moins,
en-ce-qui-concerne ces choses, du
et il faut *qu'*il n'*en* dise rien.
Il-est-nécessaire, en effet,
que l'accusé
et produise des témoins
et expose des preuves
touchant les *points* contestés,
et non *qu'*il donne-le-change
en se justifiant
sur les *points* accordés.
Prends donc *garde* que tu dises
rien sur la guerre :
car personne ne t'accuse
en rien concernant elle.
Après cela,
quelques-uns conseillèrent à nous
de faire la paix.
Nous fûmes persuadés.
Nous envoyâmes des députés.
Ceux-ci amenèrent ici, *à leur retour*,
des ambassadeurs chargés-de-con-
la paix. [clure
Sur-ce-point encore
quelqu'un blâme-t-il Eschine
concernant cela?
quelqu'un affirme-t-il
*qu'*il a proposé-le-premier
la paix, ou *qu'*il a prévariqué,
en ce qu'il a amené ici
gens devant *la* conclure? personne.
Donc, rien n'*est* à-dire à lui
non plus sur *le sujet* même, *savoir*,
que la République
a conclu la paix.
Car cet homme n'*en est* pas cause.
Si quelqu'un demandait à moi,
que dis-tu donc, homme,

κατηγορεῖν; Ὅθεν, ὦ ἄνδρες Ἀθηναῖοι, βουλευομένων ὑμῶν, οὐ περὶ τοῦ εἰ ποιητέον εἰρήνην, ἢ μή (ἐδέδοκτο γὰρ ἤδη τοῦτό γε), ἀλλ' ὑπὲρ τοῦ ποίαν τινά, τοῖς τὰ δίκαια λέγουσιν ἀντειπών, τῷ μισθοῦ γράφοντι συνεῖπε, δῶρα λαβών· καὶ μετὰ ταῦτ' ἐπὶ τοὺς ὅρκους αἱρεθείς, ὧν μὲν ὑμεῖς προσετάξατε, οὐδοτιοῦν ἐποίησε· τοὺς δ' ἐπὶ τοῦ πολέμου διασωθέντας ἀπώλεσε τῶν συμμάχων· καὶ τηλικαῦτα καὶ τοιαῦτ' ἐψεύσατο, ἡλίκ' οὐδεὶς ἀνθρώπων ἄλλος πώποτε, οὔτε πρότερον, οὔθ' ὕστερον. Τὸ μὲν γὰρ ἐξ ἀρχῆς ἄχρι τοῦ λόγου τυχεῖν Φίλιππον ὑπὲρ τῆς εἰρήνης, Κτησιφῶν καὶ Ἀριστόδημος τὴν ἀρχὴν τὴν πρώτην ἔφερον τοῦ φενακισμοῦ. Ἐπειδὴ δ' εἰς τὸ πράττειν ἤδη τὰ πράγμαθ' ἧκεν,

à l'accuser? Je commence, Athéniens, à l'époque où, pendant vos délibérations, non sur l'opportunité de la paix (ce point était décidé), mais sur les conditions, Eschine repoussa des motions pleines d'équité, pour prêter un vénal appui au décret d'un orateur vénal. Élu ensuite pour l'ambassade des serments, il n'exécuta aucun de vos ordres, il perdit ceux de vos alliés qu'avait épargnés la guerre; il débita ces dangereux, ces funestes mensonges qui l'emportent sur toutes les impostures passées et à venir. Dans le commencement, jusqu'à ce que Philippe pût traiter avec nous de la paix, Ctésiphon et Aristodème furent les premiers artisans de cette longue déception; puis, lorsqu'il fut question de conclure, ils remirent la besogne à

καὶ πόθεν ἄρχῃ κατηγορεῖν;
Ὦ ἄνδρες Ἀθηναῖοι,
ὅθεν,
ὑμῶν βουλευομένων,
οὐ περὶ τοῦ
εἰ ποιητέον εἰρήνην, ἢ μή
(τοῦτό γε
ἐδέδοκτο γὰρ ἤδη),
ἀλλὰ ὑπὲρ τοῦ
ποίαν τινα,
ἀντειπὼν
τοῖς λέγουσι
τὰ δίκαια,
συνεῖπε
τῷ γράφοντι
μισθοῦ,
λαβὼν δῶρα·
καὶ μετὰ ταῦτα αἱρεθεὶς,
ἐπὶ τοὺς ὅρκους,
ἐποίησεν οὐδοτιοῦν
ὧν μὲν ὑμεῖς προσετάξατε·
ἀπώλεσε δὲ τοὺς τῶν συμμάχων
διασωθέντας
ἐπὶ τοῦ πολέμου·
καὶ ἐψεύσατο
τηλικαῦτα
καὶ τοιαῦτα,
ἡλίκα οὐδεὶς ἄλλος ἀνθρώπων
πώποτε,
οὔτε πρότερον, οὔτε ὕστερον.
Τὸ μὲν γὰρ ἐξ ἀρχῆς
ἄχρι τοῦ Φίλιππον
τυχεῖν λόγου
ὑπὲρ τῆς εἰρήνης,
Κτησιφῶν καὶ Ἀριστόδημος
ἔφερον
τὴν ἀρχὴν τὴν πρώτην
τοῦ φενακισμοῦ.
Ἐπειδὴ δὲ τὰ πράγματα
ἦκεν ἤδη εἰς τὸ πράττειν,

et d'où commences-tu à accuser?
Je répondrais: O hommes Athéniens,
je commence du-moment-où,
vous délibérant (tandis que vous dé-
non sur la *question* [libériez),
s'il-faut-faire la paix, ou non,
(cela du moins
avait été décidé en effet déjà),
mais sur la *question de savoir*
quelle *paix* (sur les conditions),
Eschine, s'opposant-dans-ses-dis-
à ceux qui proposaient [cours
des *conditions* justes,
parla-pour-soutenir
celui-qui-rédigeait *le décret*
pour un salaire,
ayant reçu des présents;
et, après cela, choisi *comme député*
pour *la prestation* des serments,
ne fit absolument-rien
de ce que vous aviez ordonné;
et perdit ceux des alliés
qui avaient été conservés
pendant la guerre;
et débita-des-impostures
si-graves
et telles,
qu'aucun autre des hommes
n'*en débita* jamais,
ni avant, ni après.
Car depuis le commencement
jusqu'à ce que Philippe
entrer en pourparler
touchant la paix,
Ctésiphon et Aristodème
portaient
le poids de ce premier début
de la déception.
Mais lorsque les choses
en vinrent déjà à exécuter,

Φιλοκράτει καὶ τούτῳ παρέδωκαν, δεξάμενοι δ' οὗτοι πάντ' ἀπώλεσαν.

Εἶτ' ἐπειδὴ δεῖ λόγον αὐτὸν καὶ δίκην ὑπέχειν τῶν πεπραγμένων, ὧν, οἶμαι, πανοῦργος οὗτος, καὶ θεοῖς ἐχθρός, καὶ γραμματεύς, ὡς ὑπὲρ τῆς εἰρήνης κρινόμενος ἀπολογήσεται· οὐχ ἵνα πλειόνων, ἢ κατηγορεῖ τις αὐτοῦ, δῷ λόγον· μανία γὰρ τοῦτό γε· ἀλλ' ὁρᾷ τοῦθ', ὅτι ἐν μὲν τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις, ἀγαθὸν μὲν οὐδέν ἐστιν, ἅπαντα δὲ τἀδικήματα· ἡ δ' ὑπὲρ τῆς εἰρήνης ἀπολογία, καὶ εἰ μηδὲν ἄλλο, τοὔνομα γοῦν ἔχει φιλάνθρωπον. Ἦν δέδοικα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δέδοικα, μὴ λελήθαμεν, ὥσπερ οἱ δανειζόμενοι, ἐπὶ πολλῷ ἄγοντες· τὸ γὰρ ἀσφαλὲς αὐτῆς καὶ τὸ βέβαιον οὗτοι προὔδοσαν, Φωκέας καὶ Πύλας. Οὐ μὴν διὰ τοῦτόν γε ἐξ ἀρχῆς ἐποιησάμεθα τὴν εἰρήνην.

Eschine et à Philocrate, qui, prehant leur place, ont consommé l'œuvre de destruction.

Et après cela, quand il faut subir l'examen juridique de ses actes, cet habile fourbe, cet ennemi des dieux, ce vil sophiste se justifiera comme si on l'accusait d'avoir fait la paix! il se justifiera non pour répondre à plus de griefs qu'on ne lui en impute, ce serait folie, mais parce qu'il voit dans toute sa conduite des crimes, et pas une bonne action, parce qu'il sait qu'une apologie fondée sur la paix, même avec ce frêle appui, est bien séduisante. La paix! je crains, Athéniens, oui, je crains que, dans notre illusion, comme des emprunteurs à usure, nous ne la payions bien cher : car les traîtres ont sacrifié sa garantie, sa stabilité, en livrant la Phocide et les Thermopyles. Toutefois, ce n'est pas Eschine qui, dans e principe, nous

παρέδωκαν
Φιλοκράτει καὶ τούτῳ,
οὗτοι δὲ δεξάμενοι
ἀπώλεσαν πάντα.
Εἶτα, ἐπειδὴ δεῖ
αὐτὸν ὑπέχειν λόγον
καὶ δίκην
τῶν πεπραγμένων,
οὗτος ὤν, οἶμαι,
πανοῦργος,
καὶ ἐχθρὸς θεοῖς, καὶ γραμματεύς,
ἀπολογήσεται ὡς κρινόμενος
ὑπὲρ τῆς εἰρήνης·
οὐχ ἵνα δῷ λόγον
πλειόνων ἤ τις κατηγορεῖ αὐτοῦ·
τοῦτό γε γὰρ μανία·
ἀλλὰ ὁρᾷ τοῦτο,
ὅτι οὐδὲν μὲν ἀγαθόν ἐστιν
ἐν μὲν τοῖς πεπραγμένοις
ὑπὸ ἑαυτοῦ,
ἅπαντα δὲ τὰ ἀδικήματα·
ἡ δὲ ἀπολογία
ὑπὲρ τῆς εἰρήνης
ἔχει γοῦν τὸ ὄνομα
φιλάνθρωπον,
καὶ εἰ μηδὲν ἄλλο.
Ἣν δέδοικα μέν,
ὦ ἄνδρες Ἀθηναῖοι,
δέδοικα
μὴ λελήθαμεν
ἄγοντες
ἐπὶ πολλῷ,
ὥσπερ οἱ δανειζόμενοι·
οὗτοι γὰρ
προὔδοσαν
τὸ ἀσφαλὲς καὶ τὸ βέβαιον
αὐτῆς,
Φωκέας
καὶ Πύλας.
Οὐ μὴν ἐποιησάμεθα τὴν εἰρήνην

ils *les* transmirent
à Philocrate et à celui-ci;
et ces *hommes* ayant reçu *cette tâche*
perdirent tout.
Ensuite, lorsqu'il faut
que lui (Eschine) soumette compte
et justice (pour justifier)
des choses faites *par lui*,
cet *homme*, qui est, je crois,
capable-de-tout-faire,
et ennemi des dieux, et scribe,
se justifiera, comme *s'il était* jugé
sur la paix; [compte
et cela, non pas pour qu'il rende
de plus *de délits* que l'on *n'*accuse
car ce *serait* folie; [lui;
mais il voit ceci,
qu'aucun bien n'est
dans les *actes* accomplis
par lui-même,
et *que* tous *sont* des iniquités;
et *que* l'apologie
roulant sur la paix
a du moins un nom
aimé-des-hommes,
si *elle n'a* rien autre *chose*.
Laquelle *paix* je crains,
ô hommes Athéniens,
je crains [cus
que nous ne nous-soyons-pas-aper-
poussant (que nous poussions)
à *un taux* considérable,
comme les emprunteurs-à-usure;
car ces *hommes*
ont traîtreusement-livré
le sûr et le stable
d'elle (sa sûreté et sa stabilité),
je veux dire les Phocidiens
et les Thermopyles.
Cependant nous ne fîmes point la paix

Ἀλλ' ἄτοπον μέν ἐστιν, ὃ μέλλω λέγειν, ἀληθὲς δὲ πάνυ· εἰ γάρ τις ὡς ἀληθῶς χαίρει τῇ εἰρήνῃ, τοῖς στρατηγοῖς, ὧν κατηγοροῦσιν ἅπαντες[1], χάριν αὐτῆς ἐχέτω. Εἰ γὰρ ἐκεῖνοι, ὡς ὑμεῖς ἠβούλεσθε, ἐπολέμουν, οὐδ' ὄνομ' εἰρήνης ἂν ὑμεῖς ἠνέσχεσθε. Εἰρήνη μὲν οὖν δι' ἐκείνους· ἐπικίνδυνος δὲ καὶ σφαλερὰ καὶ ἄπιστος διὰ τούτους γέγονε δωροδοκήσαντας. Εἴργετ' οὖν, εἴργετ' αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων· εἰς δὲ τοὺς ὑπὲρ τῶν πεπραγμένων ἐμβιβάζετε. Οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ· ἀλλ' ἡ εἰρήνη δι' Αἰσχίνην διαβέβληται. Σημεῖον δέ· εἰ γὰρ ἡ μὲν εἰρήνη ἐγεγόνει, μηδὲν δ' ὕστερον ἐξηπάτησθ' ὑμεῖς, μηδ' ἀπολώλει τῶν συμμάχων μηδείς, τίν' ἀνθρώπων

a déterminés à poser les armes. Chose étrange, Athéniens, mais qui est de toute vérité ! si cette paix fait réellement la joie de l'un de vous, qu'il en rende grâce aux généraux que vous accusez tous. Oui, s'ils avaient fait la guerre comme vous le vouliez, le mot même de paix vous serait insupportable. Ainsi, la paix, voilà l'œuvre des généraux; les dangers d'une paix fallacieuse et perfide, voilà le crime des députés vendus. Écartez donc, écartez l'accusé de toute dissertation sur cet objet, et renfermez-le dans ses actions personnelles. Car ce n'est point sur la paix qu'Eschine est mis en jugement; non, mais c'est Eschine qui a fait maudire la paix. Je le prouve. Si, depuis la conclusion, vous n'eussiez été trompés, si aucun de vos alliés n'avait péri, qui cette paix aurait-elle affligé, à part la honte ? En-

διὰ τοῦτόν γε,
ἐξ ἀρχῆς.
Ἀλλὰ ὃ μέλλω λέγειν
ἔστι μὲν ἄτοπον,
ἀληθὲς δὲ πάνυ·
εἰ γάρ τις
χαίρει τῇ εἰρήνῃ ὡς ἀληθῶς,
ἐχέτω χάριν αὐτῆς
τοῖς στρατηγοῖς,
ὧν ἅπαντες κατηγοροῦσιν.
Εἰ γὰρ ἐκεῖνοι
ἐπολέμουν
ὡς ὑμεῖς ἠβούλεσθε,
ὑμεῖς οὐδὲ ἂν ἠνέσχεσθε
ὄνομα εἰρήνης.
Εἰρήνη μὲν οὖν
διὰ ἐκείνους·
ἐπικίνδυνος δὲ
καὶ σφαλερὰ καὶ ἄπιστος
γέγονε
διὰ τούτους
δωροδοκήσαντας.
Εἴργετε οὖν, εἴργετε αὐτὸν
τῶν λόγων ὑπὲρ τῆς εἰρήνης·
ἐμβιβάζετε δὲ εἰς τοὺς
ὑπὲρ τῶν πεπραγμένων.
Οὐ γὰρ Αἰσχίνης
κρίνεται
ὑπὲρ τῆς εἰρήνης, οὔ·
ἀλλὰ ἡ εἰρήνη διαβέβληται
διὰ Αἰσχίνην.
Σημεῖον δέ·
εἰ γὰρ ἡ μὲν εἰρήνη
ἐγεγόνει,
ὑμεῖς δὲ ἐξηπάτησθε
μηδὲν ὕστερον,
μηδὲ μηδεὶς τῶν συμμάχων
ἀπολώλει,
τίνα ἀνθρώπων
ἡ εἰρήνη ἐλύπησεν ἄν,

par-l'entremise-de celui-ci du moins,
dans le commencement.
Mais ce que je vais dire
est, il-est-vrai, étrange,
véritable cependant tout-à-fait :
c'est que, si quelqu'un
se réjouit de la paix réellement,
qu'il aie grâces (rende grâces) d'elle
aux généraux,
que tous accusent.
Car si ces *généraux*
avaient fait-la-guerre
comme vous vouliez,
vous ne supporteriez même point
le mot de paix.
Paix donc *fut faite*
par ceux-ci (par les généraux);
mais *paix* périlleuse
et trompeuse et perfide
fut faite
par ces hommes (Eschine et Philocrate)
qui avaient reçu-des-présents.
Écartez donc, écartez lui (Eschine)
des discours concernant la paix;
et faites-*le*-entrer-dans les *discours*
concernant les choses faites *par lui*.
Car Eschine
n'est pas mis-en-jugement
sur la paix; non;
mais la paix a été décréditée
par Eschine.
La preuve, *la voici :*
c'est que, si la paix
avait été *conclue*,
et *si* vous *n'*aviez été trompés
en rien postérieurement,
et *si* aucun des alliés
n'avait péri,
qui des hommes
la paix aurait-elle attristé,

ἐλύπησεν ἂν ἡ εἰρήνη, ἔξω τοῦ ἄδοξος γεγενῆσθαι; καίτοι καὶ τούτου συναίτιος οὗτος, συνειπὼν Φιλοκράτει. Ἀλλ' ἀνήκεστόν γ' οὐδὲν ἂν ἦν γεγονός. Νῦν δ', οἶμαι, πολλῶν ἄλλων ἐστὶ κακῶν αἴτιος οὗτος[1].

Ὅτι μὲν τοίνυν αἰσχρῶς καὶ κακῶς πάντα ταῦθ' ὑπὸ τούτων ἀπόλωλε καὶ διέφθαρται, οἶμαι πάντας ὑμᾶς εἰδέναι. Ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, τοσοῦτ' ἀπέχω τοῦ συκοφαντίαν τινὰ τοῖς πράγμασι τούτοις προσάγειν, ἢ ὑμᾶς ἀξιοῦν, ὥστ', εἰ ταῦθ' ὑπ' ἀβελτηρίας, ἢ δι' εὐήθειαν, ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν αὐτῷ πέπρακται, αὐτός τ' ἀφίημι Αἰσχίνην, καὶ ὑμῖν ἀφεῖναι συμβουλεύω. Καίτοι τῶν σκήψεων τούτων οὐδεμία ἐστὶ πολιτική, οὐδὲ δικαία. Οὐδένα γὰρ τὰ κοινὰ πράττειν ὑμεῖς κελεύετε, οὐδ' ἀναγκάζετε· ἀλλ' ἐπειδάν τις, ἑαυτὸν πείσας δύνασθαι, προέλθῃ, πρᾶγμα ποιοῦντες ἀνθρώπων χρηστῶν καὶ φιλανθρώπων, εὐνοϊκῶς δέχεσθε, καὶ οὐ φθονερῶς· ἀλλὰ καὶ χειροτονεῖτε, καὶ

core, cette honte remonte-t-elle à Eschine, qui seconda les vues de Philocrate. Le mal, toutefois, n'aurait pas été irréparable. Mais aujourd'hui, le voilà responsable de bien d'autres malheurs!

C'est donc, vous le voyez tous, par le crime, par l'infamie, que les députés ont tout perdu, tout ruiné. Eh bien! moi, je suis si éloigné, ô juges, d'apporter quelque acharnement dans cette cause, de le désirer en vous, que, si de tels actes sont le résultat de la sottise, de la simplicité, de l'ignorance, j'absous moi-même Eschine, et vous conseille de l'absoudre. Toutefois, aucune de ces excuses n'est admissible ni en politique ni en bonne justice. En effet, vous ne forcez, vous ne sommez personne de diriger les affaires publiques; seulement, lorsqu'un homme, persuadé qu'il en a le tâlent, se présente, vous l'accueillez avec la bienveillance d'un peuple bon et confiant, et non avec de jalouses préventions; il devient votre élu, le

ἔξω τοῦ γεγενῆσθαι
ἄδοξος;
καίτοι οὗτος συναίτιος
καὶ τούτου,
συνειπὼν Φιλοκράτει.
Ἀλλὰ οὐδέν γε ἀνήκεστον
ἂν ἦν γεγονός.
Νῦν δέ, οἶμαι,
οὗτος ἐστὶν αἴτιος
πολλῶν ἄλλων κακῶν.
98 Οἶμαι τοίνυν ὑμᾶς πάντας
εἰδέναι ὅτι μὲν πάντα ταῦτα
ἀπόλωλε καὶ διέφθαρται
αἰσχρῶς καὶ κακῶς
ὑπὸ τούτων,
Ἐγὼ δέ, ὦ ἄνδρες δικασταί,
ἀπέχω τοσοῦτο τοῦ προσάγειν
τινὰ συκοφαντίαν
τοῖς πράγμασι τούτοις,
ἢ ἀξιοῦν ὑμᾶς,
ὥστε, εἰ ταῦτα πέπρακται αὐτῷ
ὑπὸ ἀβελτηρίας, ἢ διὰ εὐήθειαν,
ἢ διὰ ἄλλην ἄγνοιαν ἡντινοῦν,
αὐτός τε ἀφίημι Αἰσχίνην,
καὶ συμβουλεύω ὑμῖν ἀφεῖναι.
Καίτοι οὐδεμία
τῶν σκήψεων τούτων
ἐστὶ πολιτική,
οὐδὲ δικαία.
Ὑμεῖς γὰρ κελεύετε
οὐδὲ ἀναγκάζετε οὐδένα
πράττειν τὰ κοινά·
ἀλλά, ἐπειδάν τις,
πείσας ἑαυτὸν δύνασθαι,
προσέλθῃ,
ποιοῦντες πρᾶγμα
ἀνθρώπων χρηστῶν
καὶ φιλανθρώπων,
δέχεσθε εὐνοϊκῶς,
καὶ οὐ φθονερῶς·

en dehors du avoir été (à part l'idée
déshonorante? [qu'elle a été)
toutefois cet *homme a été* complice
aussi de cela, [te.
en parlant-dans-le-sens de Philocra-
Mais, du moins, aucun *mal* incurable
ne serait arrivé.
Maintenant, au contraire, je crois,
cet *homme* est cause
de beaucoup d'autres malheurs.
Je pense donc *que* vous tous
vous savez que tout cela
a péri et a été détruit
honteusement et criminellement
par ceux-ci (les députés).
Mais cependant, ô hommes juges,
je suis-loin à-tel-point d'appliquer
quelque acharnement-de-délateur
à ces faits-là,
ou d'*en* demander à vous,
que, si ces choses ont été faites par lui
par bêtise, ou par crédulité,
ou par autre ignorance quelconque,
et moi-même j'absous Eschine,
et je conseille à vous de *l'*absoudre.
Toutefois aucune
de ces excuses-là
*n'*est conforme-à-votre-politique,
ni juste.
Car vous n'excitez
ni contraignez personne
à administrer les *affaires* publiques:
mais, lorsque quelqu'un,
persuadé *que* lui-même a-du-talent,
s'est présenté *comme candidat*,
faisant acte
d'hommes bons
et bienveillants,
vous *l'*accueillez avec-empressement,
et non d'une-manière-jalouse;

τὰ ὑμέτερ' αὐτῶν ἐγχειρίζετε. Ἐὰν μὲν οὖν κατορθοῖ τις, τιμηθήσεται, καὶ πλέον ἕξει κατὰ τοῦτο τῶν πολλῶν· ἐὰν δ' ἀποτυγχάνῃ, σκήψεις καὶ προφάσεις ἐρεῖ; ἀλλ' οὐ δίκαιον. Οὐ γὰρ ἂν ἐξαρκέσειε τοῖς ἀπολωλόσι συμμάχοις, οὐδὲ τοῖς παισὶν αὐτῶν, οὐδὲ ταῖς γυναιξίν, οὐδὲ τοῖς ἄλλοις, διὰ τὴν ἀβελτηρίαν τὴν ἐμήν (ἵνα μὴ τὴν τούτου λέγω), τοιαῦτα πεπονθέναι· πολλοῦ γε καὶ δεῖ. Ἀλλ' ὅμως ὑμεῖς ἄφετ' Αἰσχίνῃ τὰ δεινὰ ταῦτα καὶ ὑπερβάλλοντα, ἂν δι' εὐήθειαν, ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν λελυμασμένος φανῇ. Ἂν μέντοι διὰ πονηρίαν ἀργύριον λαβὼν καὶ δῶρα, καὶ τοῦτ' ἐξελεγχθῇ σαφῶς ὑπ' αὐτῶν τῶν πεπραγμένων, μάλιστα μέν, εἰ οἷόν τε, ἀποκτείνατε· εἰ δὲ μή, ζῶντα τοῖς λοιποῖς παράδειγμα ποιήσατε.

Σκοπεῖτε δὴ τὸν ἔλεγχον τὸν ὑπὲρ τούτων, ὡς δίκαιος ἔσται, μεθ' ὑμῶν. Ἀνάγκη δή που τοὺς λόγους τούτους Αἰσχίνην πρὸς

dépositaire de vos intérêts. S'il réussit, il sera honoré, il s'élèvera au-dessus de la foule; mais s'il échoue, en sera-t-il quitte pour des excuses, pour des défaites? Injustice! Nos alliés qui ont péri, et leurs enfants, et leurs épouses, et tant d'autres malheureux, se consoleront-ils par cela seul que leur désastre est l'ouvrage de mon incapacité, pour ne pas dire de celle d'Eschine? oh! non. Cependant, pardon pour l'auteur de tant d'horribles infortunes, s'il est clair qu'il n'a fait le mal que par crédulité, par défaut de lumières; mais, si c'est par perversité, si c'est pour de l'or, pour un salaire, si les faits eux-mêmes le prouvent avec évidence, la mort! Enfin, si cette peine n'est pas applicable, qu'il vive; mais donnez, dans sa personne, une leçon aux prévaricateurs.

Or, examinez combien est solide le raisonnement par lequel je vais le convaincre. Dans l'hypothèse qu'il ne s'est pas vendu, qu'il vous

ἀλλὰ καὶ χειροτονεῖτε,
καὶ ἐγχειρίζετε
τὰ ὑμέτερα αὐτῶν.
Ἐὰν μὲν οὖν τις κατορθοῖ,
τιμηθήσεται, καὶ κατὰ τοῦτο
ἔξει πλέον
τῶν πολλῶν·
ἐὰν δὲ ἀποτυγχάνῃ,
ἐρεῖ σκήψεις καὶ προφάσεις;
ἀλλὰ οὐ δίκαιον.
Οὐ γὰρ ἂν ἐξαρκέσειε
τοῖς συμμάχοις ἀπολωλόσιν,
οὐδὲ τοῖς παισὶν
οὐδὲ ταῖς γυναιξὶν αὐτῶν,
οὐδὲ τοῖς ἄλλοις,
πεπονθέναι τοιαῦτα
διὰ τὴν ἀβελτηρίαν τὴν ἐμήν
(ἵνα μὴ λέγω
τὴν τούτου)·
καὶ δεῖ πολλοῦ γε.
Ἀλλὰ ὅμως ὑμεῖς ἄφετε
Αἰσχίνῃ ταῦτα τὰ δεινὰ
καὶ ὑπερβάλλοντα,
ἂν φανῇ
λελυμασμένος
διὰ εὐήθειαν,
ἢ διὰ ἄλλην ἄγνοιαν
ἡντινοῦν.
Ἂν μέντοι διὰ πονηρίαν
λαβὼν ἀργύριον καὶ δῶρα,
καὶ τοῦτο ἐξελεγχθῇ σαφῶς
ὑπὸ τῶν πεπραγμένων αὐτῶν,
μάλιστα μὲν ἀποκτείνατε,
εἰ οἷόν τε·
εἰ δὲ μή, ποιήσατε ζῶντα
παράδειγμα τοῖς λοιποῖς.
Σκοπεῖτε δὴ μετὰ ὑμῶν
τὸν ἔλεγχον τὸν ὑπὲρ τούτων,
ὡς ἔσται δίκαιος.
Ἀνάγκη δή που

au contraire vous *l'*élisez même,
et vous remettez-dans-ses-mains
les *intérêts* de vous-mêmes.
Si donc quelqu'un réussit,
il sera honoré, et à-cause-de cela
il aura plus (sera plus élevé)
que le grand nombre (la multitude);
s'il échoue, au contraire,
dira-t-il excuses et prétextes?
mais *cela* ne *serait* pas juste.
Car *cette justification* ne suffirait pas
pour les alliés qui ont péri,
ni pour les enfants
ni pour les femmes d'eux,
ni pour les autres,
d'avoir souffert de tels *malheurs*
par la bêtise mienne
(afin que je ne dise pas
la *bêtise* de lui);
et il s'en faut de beaucoup certes.
Mais cependant, vous, pardonnez
à Eschine ces *maux* très-graves
et excessifs,
s'il paraît-évidemment
ayant ruiné *la République*
par crédulité,
ou par autre ignorance
quelconque.
Si, au contraire, *c'est* par perversité,
ayant reçu argent et présents,
et *si* cela est prouvé clairement
par les faits mêmes,
surtout faites-*le*-mourir,
si *cela est* possible *d'après les lois;*
sinon, faites *d'Eschine* vivant
un exemple pour les autres.
Or examinez en vous-mêmes
la preuve sur ce *point*,
combien elle sera juste.
Nécessité *est* certes (il faut absolu-ment)

ὑμᾶς εἰπεῖν τουτονί, τοὺς περὶ τῶν Φωκέων, καὶ τῶν Θεσπιέων, καὶ τῆς Εὐβοίας, εἴπερ μὴ πεπραχὼς αὐτὸν ἐξηπάτα, δυοῖν θάτερον, ἢ διαῤῥήδην ἀκούσαντα ὑποσχομένου Φιλίππου, ὅτι ταῦτα πράξει καὶ ποιήσει· ἤ, εἰ μὴ τοῦτο, γοητευθέντα καὶ φενακισθέντα τῇ περὶ τἆλλα φιλανθρωπίᾳ, καὶ ταῦτ' ἐλπίσαντα παρ' αὐτοῦ. Οὐκ ἔνεστι τούτων οὐδὲ ἓν χωρίς. Ἐκ τοίνυν τούτων ἀμφοτέρων, μάλιστα πάντων ἀνθρώπων μισεῖν αὐτῷ προσήκει Φίλιππον. Διὰ τί; ὅτι τὸ μὲν ἐκείνου μέρος, πάντ' αὐτῷ γέγονε τὰ δεινότατα καὶ τὰ αἴσχιστα. Ὑμᾶς ἐξηπάτηκεν, ἀδοξεῖ, δικαίως ἀπολωλέναι κρίνεται· καὶ εἴ γέ τι τῶν προσηκόντων ἐγίγνετο, ἐν εἰσαγγελίᾳ πάλαι ἂν ἦν. Νῦν δὲ διὰ τὴν ὑμετέ-

a involontairement trompés, il faut de toute nécessité qu'Eschine vous ait débité ses discours au sujet de la Phocide, de Thespies, de l'Eubée, ou parce qu'il a entendu de la bouche même de Philippe la promesse qu'il devait réaliser en leur faveur, ou parce que, magiquement prévenu par la modération habituelle du prince, il s'attendait à le voir agir ainsi. Point de milieu; or, dans l'un et l'autre cas, il doit porter à Philippe la haine la plus vive. Pourquoi? c'est qu'autant qu'il a dépendu de celui-ci, il se trouve dans la position la plus cruelle, la plus humiliante: il vous a trompés; il est déshonoré; on le juge digne de mort; et, si l'on eût fait ce qui convient, il y a longtemps qu'on l'eût accusé comme criminel d'État: mais, grâce à votre

Αἰσχίνην τουτονὶ	*qu'*Eschine ici présent
εἰπεῖν πρὸς ὑμᾶς	ait dit à vous
τούτους τοὺς λόγους,	ces discours-là,
τοὺς περὶ τῶν Φωκέων,	ceux concernant les Phocidiens,
καὶ τῶν Θεσπιέων,	et les habitants-de-Thespies,
καὶ τῆς Εὐβοίας,	et l'Eubée,
εἴπερ	si-toutefois [tairement)
μὴ ἐξηπάτα ἑκὼν	il ne trompait pas *le* voulant (volon-
πεπρακὼς αὑτόν,	ayant-vendu soi-même,
δυοῖν θάτερον,	de deux *causes* l'une,
ἢ ἀκούσαντα	ou ayant (parce qu'il avait) entendu
Φιλίππου	Philippe
ὑποσχομένου διαῤῥήδην	promettant formellement
ὅτι πράξει καὶ ποιήσει ταῦτα·	qu'il fera et exécutera ces choses;
ἢ, εἰ μὴ τοῦτο,	ou, si *ce* n'*est* cela,
γοητευθέντα	ayant (parce qu'il avait) été fasciné
καὶ φεναxισθέντα	et abusé
φιλανθρωπίᾳ	par l'humanité *de Philippe*
τῇ περὶ τὰ ἄλλα,	dans le reste,
καὶ ἐλπίσαντα	et ayant (parce qu'il avait) espéré
ταῦτα παρὰ αὐτοῦ.	cela de lui.
Οὐδὲ ἓν οὐx ἔνεστι	Nulle *supposition* n'est possible
χωρὶς τούτων.	en-dehors-de celles-là.
Ἐx τοίνυν ἀμφοτέρων	Or, d'après l'une-et-l'autre
τούτων,	de ces *deux causes*,
προσήxει αὐτῷ μισεῖν Φίλιππον	il convenait à lui de haïr Philippe
μάλιστα πάντων ἀνθρώπων.	le plus de tous les hommes.
Διὰ τί;	Pourquoi ? [lui,
ὅτι τὸ μὲν μέρος ἐκείνου,	parce que, du moins pour la part de
πάντα τὰ δεινότατα	toutes les choses les plus graves
καὶ τὰ αἴσχιστα	et les plus honteuses
γέγονεν αὐτῷ.	sont advenues à lui.
Ἐξηπάτηκεν ὑμᾶς, ἀδοξεῖ,	Il a trompé vous, il est déshonoré,
κρίνεται δικαίως	il est-mis-en-jugement justement
ἀπολωλέναι·	pour périr (pour un crime digne de
καί, εἴ γέ τι	et, si quelqu'une [mort);
τῶν προσηκόντων	des choses convenables
ἐγίγνετο,	se faisait,
ἦν ἂν πάλαι	il serait depuis-longtemps
ἐν εἰσαγγελίᾳ.	en accusation-de-crime-d'État.

ραν πραότητα καὶ εὐήθειαν εὐθύνας ὀίδωσι, καὶ ταύτας ὁπηνίκα βούλεται. Ἔστιν οὖν, ὅστις ὑμῶν φωνὴν ἀκήκοεν Αἰσχίνου κατηγοροῦντος Φιλίππου; τίς δ' ἐξελέγχοντα, ἢ λέγοντά τι τοῦτον ἑώρακεν; οὐδὲ εἷς. Ἀλλ' ἅπαντες Ἀθηναῖοι πρότερον κατηγοροῦσι Φιλίππου, καὶ ὁ τυχὼν ἀεί· ὧν οὐδεὶς οὐδὲν ἠδίκηται, ἰδίᾳ δήπου. Ἐγὼ δ' ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τούτου, εἴπερ μὴ πεπραχὼς αὐτὸν ἦν· « Ἄνδρες Ἀθηναῖοι, ἐμοὶ μὲν χρήσασθ' ὅ τι βούλεσθε. Ἐπίστευσα, ἐξηπατήθην, ἥμαρτον, ὁμολογῶ. Τὸν δ' ἄνθρωπον, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάττεσθε· ἄπιστος, γόης, πονηρός. Οὐχ ὁρᾶτε, οἷα πεποίηκεν ἐμέ; οἷα ἐξηπάτηκεν;» Τούτων οὐδέν' ἀκούω τῶν λόγων, οὐδ' ὑμεῖς. Διὰ τί; ὅτι, οὐ παρακρουσθείς, οὐδ' ἐξαπατηθείς, ἀλλὰ μισθώσας ἑαυτόν,

mansuétude, il en est quitte pour rendre ses comptes, et encore quand il lui plaît. Est-il donc quelqu'un qui l'ait entendu élever la voix contre Philippe, dévoiler sa perfidie par un mot, un seul mot? Non; et même, dans Athènes entière, le premier venu accusera plus volontiers ce prince, sans en avoir reçu aucune offense personnelle. Pour moi, je désirerais qu'Eschine, s'il est demeuré incorruptible, vous dît : « Athéniens, faites de moi ce que vous voudrez : j'ai cru, j'ai été abusé, j'ai failli, je l'avoue. Mais, ô mes concitoyens, tenez-vous en garde contre Philippe : c'est un perfide, un imposteur, un méchant. Ne voyez-vous pas tout le mal qu'il m'a fait, et comme il m'a joué? » Ni vous ni moi n'entendons de telles paroles. Pourquoi? parce que sa foi n'a pas été surprise, parce qu'il avait reçu le salaire

Νῦν δὲ
διὰ τὴν ὑμετέραν πραότητα
καὶ εὐήθειαν
δίδωσιν εὐθύνας,
καὶ ταύτας ὁπηνίκα βούλεται.
Ἔστιν οὖν ὑμῶν
ὅστις ἀκήκοε
φωνὴν Αἰσχίνου
κατηγοροῦντος Φιλίππου;
τίς δὲ ἑώρακε τοῦτον,
ἐξελέγχοντα ἢ λέγοντά
τι;
οὐδὲ εἷς.
Ἀλλὰ ἅπαντες Ἀθηναῖοι,
καὶ ὁ τυχὼν ἀεί,
κατηγοροῦσι Φιλίππου
πρότερον·
ὧν οὐδεὶς ἠδίκηται οὐδέν,
ἰδίᾳ ὅπου.
Ἐγὼ δέ, εἴπερ
μὴ ἦν πεπρακὼς αὐτόν,
ἐζήτουν παρὰ τούτου
ἐκείνους τοὺς λόγους·
« Ἄνδρες Ἀθηναῖοι,
χρήσασθε ἐμοὶ μὲν
ὅ τι βούλεσθε.
Ἐπίστευσα, ἐξηπατήθην,
ἥμαρτον, ὁμολογῶ.
Φυλάττεσθε δὲ τὸν ἄνθρωπον,
ὦ ἄνδρες Ἀθηναῖοι·
ἄπιστος, γόης, πονηρός.
Οὐχ ὁρᾶτε,
οἷα πεποίηκεν ἐμέ;
οἷα ἐξηπάτηκεν; »
Ἀκούω οὐδένα
τούτων τῶν λόγων,
οὐδὲ ὑμεῖς. Διὰ τί;
ὅτι εἶπε ταῦτα,
οὐ παρακρουσθεὶς
οὐδὲ ἐξαπατηθείς,

Mais maintenant,
par-l'effet-de votre bénignité
et crédulité
il rend *ses* comptes,
et *il* les *rend* quand il veut.
Est-il donc parmi vous
quelqu'un-qui ait entendu
la voix d'Eschine
accusant Philippe?
qui donc a vu cet *homme*
prouvant ou exposant
quelque *grief contre Philippe?*
personne.
Au contraire, tous les Athéniens,
et le premier venu,
accusent Philippe
plutôt *qu'il ne fait;* [ment,
gens dont aucun n'a été lésé nulle-
à-savoir dans-ses-intérêts-privés.
Pour moi, si-toutefois
il n'était pas ayant vendu soi-même,
je demanderais à cet *homme*
de prononcer ces paroles :
« Hommes Athéniens,
faites de moi
ce que vous voulez.
J'ai cru, j'ai été trompé,
j'ai failli, je l'avoue.
Mais gardez-vous de l'homme,
ô hommes Athéniens;
il est perfide, charlatan, pervers.
Ne voyez-vous pas
ce qu'il a fait *à* moi?
combien il *m'*a trompé?»
Je n'entends aucune
de ces paroles,
ni vous *non plus.* Pourquoi?
parce qu'il a dit ces *mensonges*,
non pas ayant été trompé
ni abusé,

καὶ λαβὼν ἀργύριον, ταῦτ' εἶπε. Καὶ προὔδωκεν ἐκεινῳ, καὶ γέγονε καλὸς κἀγαθὸς καὶ δίκαιος μισθωτὸς ἐκείνῳ, πρεσβευτὴς μέντοι καὶ πολίτης ὑμῖν προδότης, καὶ τρίς, οὐχ ἅπαξ, ἀπολωλέναι δίκαιος.

111 Οὐ τοίνυν ἐκ τούτων μόνον δῆλός ἐσθ', ὅτι χρημάτων ἅπαντ' εἶπεν ἐκεῖνα. Ἀλλ' ἦκον ὡς ὑμᾶς ἔναγχος Θετταλοί, καὶ Φιλίππου πρέσβεις μετ' αὐτῶν, ἀξιοῦντες ὑμᾶς, Φίλιππον Ἀμφικτύονα εἶναι ψηφίσασθαι. Τῷ προσῆκεν οὖν ἀντειπεῖν τούτοις μάλιστα πάντων ἀνθρώπων; Αἰσχίνῃ τούτῳ. Διὰ τί; ὅτι οἷς οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, τούτοις τἀναντία ἐποίησεν ἐκεῖνος. Οὗτος μὲν γὰρ ἔφη Θεσπιὰς καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν· καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν, τὴν δὲ Θηβαίων ὕβριν καταλύ-

de ses harangues, le loyer de sa trahison, parce qu'il est devenu pour Philippe un bon, un utile, un fidèle mercenaire; pour Athènes, un traître comme député, comme citoyen, un criminel enfin digne de mille morts!

Mais d'autres preuves encore établissent clairement qu'il s'est fait payer ses discours. Il vint ici dernièrement des Thessaliens, et avec eux des députés de Philippe, vous demander pour ce prince la reconnaissance du titre d'Amphictyon. Pour qui surtout l'opposition était-elle alors une convenance? pour Eschine. La raison, c'est que Philippe avait exécuté tout le contraire de ce qu'Eschine avait annoncé. « Philippe, avait-il dit, fortifiera Thespies et Platée; il ne ruinera pas la Phocide; il réprimera les prétentions hautaines des Thé-

ἀλλὰ μισθώσας
ἑαυτόν,
καὶ λαβὼν ἀργύριον.
Καὶ προὔδωκεν ἐκείνῳ,
καὶ γέγονεν ἐκείνῳ
μισθωτὸς καλὸς καὶ ἀγαθὸς
καὶ δίκαιος,
ὑμῖν μέντοι
πρεσβευτὴς καὶ πολίτης
προδότης,
καὶ δίκαιος ἀπολωλέναι
τρίς, οὐχ ἅπαξ.
Ἔστι τοίνυν
δῆλος
οὐ μόνον ἐκ τούτων
ὅτι εἶπεν ἅπαντα ἐκεῖνα
χρημάτων.
Ἀλλὰ ἔναγχος
Θετταλοὶ ἦκον ὡς ὑμᾶς,
καὶ πρέσβεις Φιλίππου
μετὰ αὐτῶν,
ἀξιοῦντες
ὑμᾶς ψηφίσασθαι
Φίλιππον εἶναι Ἀμφικτύονα.
Τῷ οὖν
μάλιστα πάντων ἀνθρώπων
προσῆκεν ἀντειπεῖν τούτοις;
Αἰσχίνῃ τούτῳ.
Διὰ τί;
ὅτι ἐκεῖνος
ἐποίησε
τὰ ἐναντία τούτοις
οἷς οὗτος
ἐπήγγειλε πρὸς ὑμᾶς.
Οὗτος μὲν γὰρ ἔφη
αὐτὸν τειχιεῖν
Θεσπιὰς καὶ Πλαταιάς·
καὶ οὐκ ἀπολεῖν μὲν
τοὺς Φωκέας,
καταλύσειν δὲ

mais ayant-loué-pour-un-salaire
soi-même,
et ayant reçu de l'argent.
Et il a *tout* livré à ce *prince*,
et il est devenu pour lui
salarié bel et bon
et juste,
pour vous, au-contraire,
député et citoyen
traître,
et méritant d'être-mis-à-mort
trois-fois, non une-seule-fois.
Eschine est donc
évidemment-convaincu
non-seulement par ces choses
qu'il a dit tous ces *discours*
pour de l'argent.
D'ailleurs dernièrement
des Thessaliens vinrent vers vous,
et des députés de Philippe
avec eux,
demandant
que vous reconnussiez-par-un-décret
que Philippe est Amphictyon.
A qui donc
le plus de tous les hommes
convenait-il de s'opposer à eux?
A Eschine que-voici.
Pourquoi?
parce que celui-là (Philippe)
a exécuté
les choses contraires à celles
que celui-ci (Eschine)
rapporta à vous.
Celui-ci, en-effet, affirma
que celui-là releverait-les-murs
de Thespies et de Platée;
et *qu'*il ne détruirait pas
les Phocidiens,
*qu'*il briserait, au contraire,

σειν. Ὁ δὲ τοὺς μὲν Θηβαίους μείζους, ἢ προσῆκε, πεποίηκε, τοὺς δὲ Φωκέας ἄρδην ἀπολώλεκε· καὶ τὰς μὲν Θεσπιὰς καὶ Πλαταιὰς οὐ τετείχικε, τὸν δ' Ὀρχομενὸν καὶ τὴν Κορώνειαν προσεξηνδραπόδισται. Πῶς ἂν ἐναντιώτερα πράγμαθ' ἑαυτοῖς τούτων γένοιτο; Οὐ τοίνυν ἀντεῖπεν, οὐδὲ διῆρε τὸ στόμα, οὐδ' ἐφθέγξατο ἐναντίον οὐδέν. Καὶ οὐχὶ τοῦτό πω δεινόν, τηλικοῦτον ὄν· ἀλλὰ καὶ συνεῖπε μόνος τῶν ἐν τῇ πόλει πάντων ἀνθρώπων. Καίτοι τοῦτό γε οὐδὲ Φιλοκράτης ἐτόλμησε ποιῆσαι, ὁ μιαρός, ἀλλ' Αἰσχίνης οὑτοσί. Καὶ θορυβούντων ὑμῶν, καὶ οὐκ ἐθελόντων ἀκούειν αὐτοῦ, καταβαίνων ἀπὸ τοῦ βήματος, ἐνδεικνύμενος τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου παροῦσι, πολλοὺς ἔφη τοὺς θορυβοῦντας εἶναι, ὀλίγους δὲ τοὺς στρατευομένους, ὅταν δέῃ

bains : » et Philippe a rendu Thèbes trop puissante ; il a frappé à mort la Phocide ; loin de relever les murs de Platée, de Thespies, il a fait esclaves les habitants de Coronée et d'Orchomène. Où trouver contradiction plus frappante ? Eschine toutefois n'ouvrit pas la bouche, ne prononça pas un mot d'opposition. Étrange conduite ! eh bien ! son crime n'est pas encore là. Seul, de tous les Athéniens, il appuya la députation ; et, ce que n'osa pas faire l'infâme Philocrate, l'homme que voilà, Eschine, l'a fait ! Vos clameurs l'interrompaient, et vous refusiez de l'entendre : alors il descend de la tribune, et, signalant son zèle pour Philippe aux yeux de ses ambassadeurs : « Parmi tant

τὴν ὕβριν Θηβαίων.	l'insolence des Thébains.
Ὁ δὲ	Mais lui,
πεποίηκε μὲν τοὺς Θηβαίους	il a fait les Thébains
μείζους ἢ προσῆκεν,	plus grands qu'il *ne* convenait,
ἀπολώλεκε δὲ ἅρδην	et il a ruiné complétement
τοὺς Φωκέας·	les Phocidiens ;
καὶ οὐ τετείχικε μὲν	et il n'a pas relevé-les-murs
τὰς Θεσπιὰς καὶ Πλαταιάς,	de Thespies et de Platée,
προσεξηνδραπόδισται δὲ	mais il a réduit-en-servitude
τὸν Ὀρχομενὸν	Orchomène
καὶ τὴν Κορώνειαν.	et Coronée.
Πῶς πράγματα ἐναντιώτερα	Comment choses plus opposées
ἑαυτοῖς	à elles-mêmes (les unes aux autres)
τούτων	que celles-là
ἂν γένοιτο ;	auraient-elles été ? [point,
Οὐ τοίνυν ἀντεῖπεν,	Cependant *Eschine* ne contredit
οὐδὲ διῆρε τὸ στόμα,	ni n'ouvrit la bouche,
οὐδὲ ἐφθέγξατο	ni ne prononça
οὐδὲν ἐναντίον.	rien de contraire.
Καὶ τοῦτο, ὂν τηλικοῦτον,	Et cela (ce silence), étant si-grave,
οὐχί πω δεινόν·	n'*est* pas encore *son crime* énorme ;
ἀλλὰ καὶ	mais même
συνεῖπε	il parla-pour-appuyer *la demande*,
μόνος πάντων ἀνθρώπων	*lui*, seul de tous les hommes
τῶν ἐν τῇ πόλει.	*qui étaient* dans la ville.
Καίτοι οὐδὲ Φιλοκράτης	Cependant pas même Philocrate
ὁ μιαρὸς	le scélérat
ἐτόλμησε ποιῆσαι τοῦτό γε,	n'osa faire cela du-moins,
ἀλλὰ Αἰσχίνης οὑτοσί.	mais Eschine ici-présent *osa le faire.*
Καὶ ὑμῶν θορυβούντων	Et, vous faisant-grand-tumulte
καὶ οὐκ ἐθελόντων ἀκούειν αὐτοῦ,	et ne voulant pas écouter lui,
καταβαίνων ἀπὸ τοῦ βήματος,	*Eschine*, descendant de la tribune,
ἐνδεικνύμενος	faisant-une-démonstration
τοῖς πρέσβεσι	devant les députés
τοῖς παροῦσι παρὰ Φιλίππου,	présents de-la-part-de Philippe,
ἔφη τοὺς θορυβοῦντας	dit *que* les *gens* faisant-tumulte
εἶναι πολλούς,	étaient nombreux,
τοὺς δὲ στρατευομένους,	mais *que* les *gens* faisant-la-guerre,
ὅταν δέῃ,	quand il faudrait,
ὀλίγους	*étaient* en-petit-nombre

(μέμνησθε γὰρ δήπου), αὐτὸς ὤν, οἶμαι, θαυμάσιος στρατιώτης, ὦ Ζεῦ!

Ἔτι τοίνυν, εἰ μὲν μηδένα μηδὲν ἔχοντ' εἴχομεν δεῖξαι τῶν πρέσβεων, μηδ' ἦν ὥστ' ἰδεῖν ἅπαντας, βασάνους καὶ τὰ τοιαῦτα ὑπόλοιπον ἂν ἦν σκοπεῖν. Εἰ δὲ Φιλοκράτης μὴ μόνον ὡμολόγει παρ' ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ἀλλὰ καὶ ἐδείκνυεν ὑμῖν, πυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων, κἂν μὴ χειροτονῆθ' ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος φανερῶς ἐπὶ ταῖς τραπέζαις[1]· οὐκ ἔνι δήπου τοῦτον εἰπεῖν, ὡς οὐκ εἴληφε, τὸν αὐτὸν ὁμολογοῦντα καὶ δεικνύντα. Ἔστιν οὖν οὕτω τις ἀνθρώπων ἀνόητος ἢ κακοδαίμων, ὥσθ', ἵνα λαμβάνῃ μὲν Φιλοκράτης, ἀδοξῇ δὲ αὐτὸς καὶ κινδυνεύῃ, ἑξὸν αὐτῷ μετὰ τῶν μηδὲν ἠδικηκότων

de criards, bien peu, dans l'occasion, voudraient combattre, » disait, vous vous le rappelez, cet admirable guerrier. Grands dieux!

De plus, si nous ne pouvions nullement prouver que les députés sont nantis d'un salaire, si leur vénalité n'était point flagrante, il faudrait recourir aux informations, aux épreuves juridiques. Mais, si, plus d'une fois, Philocrate en est publiquement convenu; si même il vous l'a démontré par les blés qu'il vendait, par ses constructions; par la déclaration que, même sans être élu, il irait en Macédoine, par les bois qu'il transportait, par l'or qu'il échangeait ouvertement sur les comptoirs, on ne peut le nier sans doute, après son propre aveu, après de telles manifestations. Or, où est l'insensé, où est le maniaque qui, pour enrichir un Philocrate à ses propres périls, au prix de son honneur, lorsqu'il peut se ranger parmi les citoyens in-

(μέμνησθε γὰρ
δήπου),
αὐτὸς ὤν, οἶμαι,
στρατιώτης θαυμάσιος, ὦ Ζεῦ!
Ἔτι τοίνυν,
εἰ μὲν εἴχομεν δεῖξαι
μηδένα τῶν πρέσβεων
ἔχοντα μηδέν,
μηδὲ ἦν
ὥστε
ἅπαντας ἰδεῖν,
ἂν ἦν ὑπόλοιπον σκοπεῖν
βασάνους
καὶ τὰ τοιαῦτα.
Εἰ δὲ Φιλοκράτης
μὴ μόνον ὡμολόγει πολλάκις
παρὰ ὑμῖν,
ἐν τῷ δήμῳ,
ἀλλὰ καὶ ἐδείκνυεν ὑμῖν,
πυροπωλῶν,
οἰκοδομῶν,
φάσκων
βαδιεῖσθαι,
καὶ ἐὰν ὑμεῖς μὴ χειροτονῆτε,
ξυληγῶν,
καταλλαττόμενος τὸ χρυσίον
φανερῶς
ἐπὶ ταῖς τραπέζαις·
οὐκ ἔνι δήπου
εἰπεῖν τοῦτον
ὡς οὐκ εἴληφε,
τὸν αὐτὸν ὁμολογοῦντα
καὶ δεικνύντα.
Ἔστιν οὖν τις ἀνθρώπων
ἀνόητος ἢ κακοδαίμων
οὕτως, ὥστε, ἐξὸν αὐτῷ
ἐξετάζεσθαι
μετὰ τῶν ἠδικηκότων μηδέν,
βούλεσθαι
πολεμεῖν τούτοις μέν,

(car vous vous *en* souvenez
certainement),
il dit cela, lui qui est, je pense,
guerrier admirable, ô Jupiter!
De plus,
si nous *ne* pouvions prouver
*qu'*aucun des députés
n'a *reçu* aucun *présent*,
et *si la chose* n'*en* était pas
au-point-que
tous *les citoyens le* savent,
il serait restant (il resterait) à examiner
les épreuves-juridiques
et les *autres moyens* tels.
Si, au-contraire, Philocrate
non-seulement *l'*avouait souvent
chez vous,
devant le peuple *assemblé*,
mais encore *le* prouvait à vous,
vendant-le-blé *qu'il avait reçu de*
bâtissant-des-maisons, *Philippe*,
disant
*qu'*il fera-le-voyage *de Macédoine*,
même si vous ne *l'*élisez pas *député*,
transportant-du-bois *de construction*,
échangeant l'or
manifestement
sur les comptoirs *des banquiers*;
il n'est-pas-possible certes
de dire *de* cet *homme*
qu'il n'a pas reçu *de présents*,
lui-même *l'*avouant
et *le* montrant.
Est-il donc quelqu'un des hommes
insensé ou endiablé
au-point que, étant-loisible à lui
de se ranger
avec ceux qui n'ont prévariqué nullement,
vouloir (il veuille)
faire-la-guerre à ceux-ci,

ἐξετάζεσθαι, τούτοις μὲν πολεμεῖν, πρὸς δ' ἐκεῖνον ἐλθὼν κρίνεσθαι βούλεσθαι; ἐγὼ μὲν οὐδέν' οἶμαι.

Ἀλλὰ πάντα ταῦτα, ἐὰν ὀρθῶς σκοπῆτε, εὑρήσετε μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐναργῆ σημεῖα τοῦ χρήματα τοῦτον ἔχειν. Ὃ τοίνυν ὕστατον μὲν γέγονεν, οὐδενὸς δ' ἐστὶν ἔλαττον σημεῖον τοῦ πεπρακέναι τοῦτον ἑαυτὸν Φιλίππῳ, θεάσασθε. Ἴστε δήπου πρώην, ὅτε εἰσήγγειλεν Ὑπερίδης Φιλοκράτην, ὅτι παρελθὼν ἐγὼ δυσχεραίνειν ἔφην ἔν τι τῆς εἰσαγγελίας, εἰ μόνος Φιλοκράτης τοσούτων καὶ τηλικούτων ἀδικημάτων αἴτιος γέγονεν, οἱ δ' ἐννέα τῶν πρέσβεων, μηδενός· καὶ οὐκ ἔφην τοῦθ' οὕτως ἔχειν. Οὐδαμοῦ γὰρ ἂν φανῆναι καθ' ἑαυτὸν ἐκεῖνον, εἰ μὴ τοὺς συναγωνιζομένους τούτων τινὰς εἶχεν. « Ἵν' οὖν μήτ' ἀφῶ,

tègres, aime mieux déclarer la guerre à ceux-ci, et se faire condamner comme auxiliaire du premier?

Examinez bien tous ces faits, ô Athéniens, vous y reconnaîtrez la vive empreinte de la vénalité d'Eschine. Voulez-vous un autre indice, tout récent et non moins fort, de son marché avec Philippe? écoutez. Dernièrement, vous le savez, quand Hypéride accusait Philocrate comme criminel d'État, je m'avançai, et je dis qu'une difficulté m'embarrassait dans ce procès politique. « Comment Philocrate serait-il seul justiciable de tant de graves prévarications? comment les neuf autres députés n'y auraient-ils aucune part? Cela n'est pas, ajoutai-je; l'accusé n'eût rien pu par lui-même; il faut qu'il ait été

κρίνεσθαι δὲ	et se-faire-mettre-en-jugement
ἐλθὼν	étant venu (pour être venu)
πρὸς ἐκεῖνον,	vers celui-là,
ἵνα Φιλοκράτης μὲν	afin que Philocrate
λαμβάνῃ,	reçoive *des présents*,
αὐτὸς δὲ	*que* lui-même, au contraire,
ἀδοξῇ	soit-déshonoré
καὶ κινδυνεύῃ;	et soit mis-en-péril?
ἐγὼ μὲν οἶμαι	pour moi, je crois [*pour cela.*
οὐδένα.	*que* personne *ne serait assez insensé*
Ἀλλά, ὦ ἄνδρες Ἀθηναῖοι,	Mais, ô hommes Athéniens,
ἐὰν σκοπῆτε ὀρθῶς,	si vous examinez avec-justesse,
εὑρήσετε πάντα ταῦτα	vous trouverez *que* toutes ces choses
σημεῖα μεγάλα καὶ ἐναργῆ	*sont* preuves grandes et claires
τοῦ τοῦτον ἔχειν χρήματα.	de ceci que lui a *reçu* des présents.
Θεάσασθε τοίνυν	Or considérez
ὃ μὲν γέγονεν	*ce* qui est advenu
ὕστατον,	le dernier (en dernier lieu),
ἐστὶ δὲ σημεῖον	et *qui* est preuve
ἔλαττον οὐδενὸς	*non* plus faible qu'aucune
τοῦ τοῦτον πεπρακέναι	*que* cet *homme* a vendu
ἑαυτὸν Φιλίππῳ.	soi-même à Philippe.
Ἴστε δήπου ὅτι πρῴην,	Vous savez certes que naguères,
ὅτε Ὑπερίδης	lorsque Hypéride
εἰσήγγειλε	accusa-de-crime-d'État
Φιλοκράτην,	Philocrate,
ἐγὼ παρελθὼν	moi, m'étant approché
ἔφην δυσχεραίνειν	j'affirmai être-embarrassé
ἔν τι τῆς εἰσαγγελίας,	sur un *point* de l'accusation,
εἰ Φιλοκράτης μόνος	*à savoir*, si Philocrate seul
γέγονεν αἴτιος ἀδικημάτων	devint coupable de prévarications
τοσούτων καὶ τηλικούτων,	telles et si-considérables,
οἱ δὲ ἐννέα τῶν πρέσβεων	et *si* neuf des députés
μηδενός·	*n'étaient coupables* de rien;
καὶ ἔφην τοῦτο οὐκ ἔχειν οὕτως.	et je déclarai cela ne pas être ainsi.
Ἐκεῖνον γὰρ	Que cet *homme*, en effet,
ἂν φανῆναι	n'aurait paru
οὐδαμοῦ κατὰ ἑαυτόν,	d'aucune-valeur par lui-même,
εἰ μὴ εἶχε	s'il n'avait
τινὰς τούτων	quelques-uns de ceux-ci

μήτ' αἰτιάσωμαι μηδένα, ἔφην ἐγώ, ἀλλὰ τὸ πρᾶγμα αὐτὸ τοὺς μὲν αἰτίους εὕρῃ, τοὺς δὲ μὴ μετεσχηκότας ἀφῇ, ἀναστὰς ὁ βουλόμενος καὶ παρελθὼν εἰς ὑμᾶς ἀποφηνάσθω μὴ μετέχειν, μηδὲ ἀρέσκειν αὐτῷ τὰ ὑπὸ Φιλοκράτους πεπραγμένα. Καὶ τὸν τοῦτο ποιήσαντα ἀφίημι ἔγωγ', » ἔφην. Ταῦτα γὰρ μνημονεύετε, ὡς ἐγὼ οἶμαι. Οὐ τοίνυν παρῆλθεν οὐδείς, οὐδ' ἔδειξεν ἑαυτόν. Καὶ τῶν μὲν ἄλλων ἔσθ' ἑκάστῳ τις πρόφασις. Ὁ μὲν οὐχ ὑπεύθυνος ἦν· ὁ δ' οὐχὶ παρῆν ἴσως· τῷ δὲ κηδεστὴς ἦν ἐκεῖ[1]· τούτῳ δ' οὐδὲν τούτων. Ἀλλ' οὕτω καθάπαξ πέπρακεν ἑαυτόν, καὶ οὐκ ἐπὶ τοῖς παρεληλυθόσι μεμισθάρνηκε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα δῆλός ἐστιν, ἐάν περ ἐκφύγῃ νῦν, καθ' ὑμῶν ὑπάρξων ἐκείνῳ, ὥςθ', ἵνα μηδ' ἐναντίον μηδὲν ῥῆμα πρόηται Φιλίππῳ, οὐδ'

secondé par quelques collègues. Mais n'accusons, ne déchargeons personne, et laissons aux coupables et aux innocents le soin de se faire connaître. Que celui donc qui le voudra se lève, qu'il comparaisse, qu'il proteste contre toute participation, contre toute adhésion aux crimes de Philocrate : je délie celui qui le fera. » Vous vous rappelez sans doute ce défi. Eh bien! pas un ne parut, pas un ne se montra. Les autres, du moins, avaient chacun leur prétexte : celui-ci avait rendu ses comptes, celui-là était absent, un autre avait un gendre en Macédoine. Eschine, qu'eût-il allégué? rien. Mais il s'est si bien vendu, corps et âme; il s'est tellement fait le stipendié de Philippe pour le passé; absous aujourd'hui, il laisse percer à tel point l'intention d'être encore à lui, de vous trahir encore dans l'avenir, que, quand vous lui pardonneriez de n'avoir pas même

τοὺς συναγωνιζομένους.
« Ἵνα οὖν, ἔφην ἐγώ,
μήτε ἀφῶ
μήτε αἰτιάσωμαι μηδένα,
ἀλλὰ τὸ πρᾶγμα αὐτὸ
εὕρῃ μὲν τοὺς αἰτίους,
ἀφῇ δὲ
τοὺς μὴ μετεσχηκότας,
ὁ βουλόμενος
ἀναστὰς καὶ παρελθὼν
εἰς ὑμᾶς
ἀποφηνάσθω
μὴ μετέχειν,
μηδὲ τὰ πεπραγμένα
ὑπὸ Φιλοκράτους
ἀρέσκειν αὐτῷ.
Καὶ ἔγωγε ἀφίημι
τὸν ποιήσαντα τοῦτο, » ἔφην.
Μνημονεύετε γὰρ ταῦτα,
ὡς ἐγὼ οἶμαι.
Οὐδεὶς τοίνυν
οὐ παρῆλθεν, οὐδὲ ἔδειξεν ἑαυτόν.
Καί τις πρόφασις ἔστιν
ἑκάστῳ τῶν μὲν ἄλλων.
Ὁ μὲν οὐκ ἦν ὑπεύθυνος·
ὁ δὲ οὐχὶ παρῆν ἴσως·
κηδεστὴς ἦν ἐκεῖ
τῷ δέ·
οὐδὲν δὲ τούτων
τούτῳ.
Ἀλλὰ πέπρακεν ἑαυτὸν
καθάπαξ οὕτω,
καὶ μεμισθάρνηκεν οὐ μόνον
ἐπὶ τοῖς παρεληλυθόσιν,
ἀλλά ἐστι δῆλος
ὑπάρξων ἐκείνῳ
κατὰ ὑμῶν καὶ μετὰ ταῦτα,
ἐάν περ ἐκφύγῃ
νῦν,
ὥστε οὐδὲ ἀφίεται

luttant-avec *lui*.
« Afin que donc, dis-je,
je n'acquitte
ni n'accuse personne,
mais *afin que* le fait lui-même
fasse-découvrir les coupables,
et absolve [*crime*,
ceux qui n'ont point participé *au*
que celui qui *le* veut
s'étant levé et s'étant approché
parmi vous
déclare-ouvertement
n'avoir-point-part *au crime*,
et *que* les *actions* faites
par Philocrate
n'agréent pas à lui.
Et, quant à moi, j'absous
celui qui aura fait cela, » dis-je.
Car vous vous rappelez cela,
comme je crois.
Or aucun
ne s'approcha, ni ne se montra.
Et quelque excuse existe
pour chacun des autres.
Celui-ci n'était *plus* responsable ;
celui-là n'était pas présent peut-être ;
un gendre était là (en Macédoine)
à cet *autre* :
au contraire, rien de cela
n'était à cet *homme*.
Mais il a vendu soi-même
une-fois-pour-toutes tellement,
et il *s*'est-mis-à-gages non-seulement
pour les *faits* passés, [demment)
mais encore il est clair (montre-évi-
qu'il sera pour lui (pour Philippe)
contre vous aussi après cela,
si toutefois il échappe *à une condam-*
aujourd'hui, [*nation*
tellement qu'il ne se pardonne pas

ἀφιέντων ἀφίεται, ἀλλ' ἀδοξεῖν, κρίνεσθαι, πάσχειν ὁτιοῦν αἱρεῖται παρ' ὑμῖν μᾶλλον, ἢ Φιλίππῳ τι ποιῆσαι μὴ πρὸς ἡδονήν. Καίτοι, τίς ἡ κοινωνία, τίς ἡ πολλὴ πρόνοια ὑπὲρ Φιλοκράτους αὕτη; ὅν, εἰ τὰ κάλλιστα καὶ πάντα τὰ συμφέροντ' ἐπεπρεσβεύκει, χρήματα ὁ' ὡμολόγει λαβεῖν ἐκ τῆς πρεσβείας, ὥςπερ ὁμολογεῖ, τοῦτό γ' αὐτὸ φυγεῖν καὶ διευλαβηθῆναι τῷ προῖκα πρεσβεύοντι προςῆκε, καὶ διαμαρτύρασθαι τὸ καθ' αὐτόν. Οὐ τοίνυν πεποίηκε τοῦτ' Αἰσχίνης. Ταῦτ' οὐ φανερά, ὦ ἄνδρες Ἀθηναῖοι; ταῦτ' οὐχὶ βοᾷ καὶ λέγει, ὅτι χρήματ' εἴληφεν Αἰσχίνης, καὶ πονηρός ἐστιν ἀργυρίου συνεχῶς, οὐ δι' ἀβελτηρίαν, οὐδὲ δι' ἄγνοιαν, οὐδ' ἀποτυγχάνων; «Καὶ τίς μου καταμαρ-

20

avancé une parole contre ce prince, il ne se pardonnerait point de lui causer un seul déplaisir, dût-il se couvrir d'opprobre, dût-il être remis en jugement, dût-il souffrir mille maux parmi ses concitoyens. Mais pourquoi cette société avec Philocrate? pourquoi tant de sollicitude à son sujet? Supposons à ce député d'éclatants succès et d'utiles services : il avouait avoir été payé à l'occasion de sa mission; dès lors, le fuir, éviter les soupçons, protester pour soi-même, tel était le devoir d'un député intègre : or, ce devoir, Eschine ne l'a point rempli. Tout cela n'est-il pas clair, Athéniens? tout cela ne dit-il pas, ne proclame-t-il pas qu'Eschine a reçu de l'argent, que c'est l'argent qui perpétue sa funeste influence, et non la sottise, non l'ignorance, non la mauvaise fortune? « Et quel témoin dépose que j'ai accepté

ἀφιέντων,
ἵνα μηδὲ πρόηται
μηδὲν ῥῆμα
ἐναντίον Φιλίππῳ,
ἀλλὰ αἱρεῖται μᾶλλον
ἀδοξεῖν, κρίνεσθαι,
πάσχειν ὁτιοῦν παρὰ ὑμῖν,
ἢ ποιῆσαι Φιλίππῳ τι
μὴ πρὸς ἡδονήν.
Καίτοι, τίς ἡ κοινωνία αὕτη,
τίς ἡ πολλὴ πρόνοια
ὑπὲρ Φιλοκράτους;
ὅν,
εἰ ἐπεπρεσβεύκει
πάντα τὰ κάλλιστα
καὶ τὰ συμφέροντα,
ὡμολόγει δὲ
λαβεῖν χρήματα
ἐκ τῆς πρεσβείας,
ὥσπερ ὁμολογεῖ,
τοῦτό γε αὐτὸ προσῆκε
τῷ πρεσβεύοντι
προῖκα
φυγεῖν καὶ διευλαβηθῆναι,
καὶ διαμαρτύρασθαι
τὸ κατὰ αὑτόν.
Αἰσχίνης τοίνυν
οὐ πεποίηκε τοῦτο.
Ταῦτα
οὐ φανερά,
ὦ ἄνδρες Ἀθηναῖοι;
ταῦτα οὐχὶ βοᾷ
καὶ λέγει·
ὅτι Αἰσχίνης εἴληφε χρήματα,
καί ἐστι πονηρὸς
συνεχῶς
ἀργυρίου, οὐ διὰ ἀβελτηρίαν,
οὐδὲ διὰ ἄγνοιαν,
οὐδὲ ἀποτυγχάνων;
« Καὶ τίς καταμαρτυρεῖ μου,

vous lui pardonnant,
pour qu'il ne mette-en-avant
aucune parole
contraire à Philippe,
mais il choisit plutôt (il préfère)
être-déshonoré, être condamné,
souffrir quoi-que-ce-soit chez vous,
que de faire à Philippe quelque chose
non pour *son* plaisir.
Cependant, quelle *est* cette société,
quel *est* ce grand zèle
pour Philocrate ?
lequel, [ambassade
quand même il aurait fait-dans-son-
toutes choses les plus belles
et utiles,
si, d'autre part, il convenait
avoir reçu des présents
pour l'ambassade,
comme il *en* convient,
par cela même il convenait
à celui qui remplissait-la-mission
avec-désintéressement
de fuir et d'éviter-avec-précaution,
et de protester
pour soi-même.
Or Eschine
n'a pas fait cela.
Ces *preuves*
ne *sont-elles* pas évidentes,
ô hommes Athéniens ?
ces *preuves* ne crient-elles pas
et *ne* disent-elles pas
qu'Eschine a reçu des présents,
et *qu'*il est dangereux
continuellement
pour de l'argent, non par bêtise,
ni par ignorance,
ni échouant (ni pour avoir échoué) ?
« Et qui atteste-contre moi,

τυρεῖ, φησί, δῶρα λαβεῖν; » Τοῦτο γάρ ἐστι τὸ λαμπρόν. Τὰ πράγματ', Αἰσχίνη, ἅπερ πιστότατά ἐστιν ἁπάντων[1]. Καὶ οὐκ ἔνεστιν εἰπεῖν, οὐδ' αἰτιάσασθαι, ὡς ἢ πεπεισμένα ἢ χαριζόμενά τῳ ἐστι τοιαῦτα, ἀλλ' οἷά περ αὐτὰ προδοὺς καὶ διαφθείρας σὺ πεποίηκας, τοιαῦτ' ἐξεταζόμενα φαίνεται. Πρὸς δὲ τοῖς πράγμασιν, αὐτὸς αὐτίκα δὴ σὺ σαυτοῦ καταμαρτυρήσεις. Ἀπόκριναι γὰρ δεῦρ' ἀναστάς μοι[2]. Οὐ γὰρ δὴ δι' ἀπειρίαν γ' οὐ φήσεις ἔχειν ὅ τι εἴπῃς. Ὃς γὰρ ἀγῶνας καινούς, ὥσπερ δράματα, καὶ τούτους ἀμαρτύρους, πρὸς διαμεμετρημένην τὴν ἡμέραν αἱρεῖς διώκων, δῆλον ὅτι πάνδεινος εἶ τις[3].

Πολλῶν τοίνυν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων Αἰσχίνῃ τούτῳ, καὶ πολλὴν κακίαν ἐχόντων, ὡς καὶ ὑμῖν οἶομαι δοκεῖν,

des présents? » C'est ici que brille sa défense. Les faits, Eschine, l'attestent, les faits, de tous les témoignages le plus irrécusable. Leur reprocheras-tu d'avoir modifié leur caractère au gré de la séduction ou de la complaisance? non : tels tu les a produits lorsque tu trahissais, lorsque tu détruisais, tels ils se montrent quand on les interroge. Au témoignage des faits, ajoute celui que tu vas rendre contre toi-même. Oui, lève-toi, et réponds; certes, tu ne t'en défendras pas en alléguant de l'inexpérience. Gagneur de procès nouveaux, dans lesquels tu soutiens, en un temps limité, sans le secours d'aucun témoin, des accusations, image des fictions de la scène, tu possèdes, le fait est clair, une aptitude universelle.

De toutes les étranges et criminelles démarches d'Eschine qui frappent vos esprits, il n'en est pas, à mon sens, de plus révoltante

φησί, λαβεῖν δῶρα; »
Τοῦτο γάρ ἐστι τὸ λαμπρόν.
Τὰ πράγματα, Αἰσχίνη,
ἅπερ ἐστὶ
πιστότατα
ἁπάντων.
Καὶ οὐκ ἔνεστιν εἰπεῖν,
οὐδὲ αἰτιάσασθαι
ὡς
ἐστι τοιαῦτα
ἢ πεπεισμένα
ἢ χαριζόμενά τῳ,
ἀλλὰ ἐξεταζόμενα
φαίνεται τοιαῦτα οἷά περ
σὺ πεποίηκας αὐτὰ
προδοὺς καὶ διαφθείρας.
Πρὸς δὲ τοῖς πράγμασι,
σὺ δὴ αὐτὸς αὐτίκα
καταμαρτυρήσεις σαυτοῦ.
Ἀναστὰς γὰρ δεῦρο
ἀπόκριναί μοι.
Οὐ γὰρ δὴ φήσεις
οὐκ ἔχειν
διὰ ἀπειρίαν
ὅ τι εἴπῃς.
Ὃς γὰρ διώκων
αἱρεῖς ἀγῶνας καινούς,
ὥςπερ δράματα,
καὶ τούτους
ἀμαρτύρους,
πρὸς τὴν ἡμέραν
διαμεμετρημένην,
δῆλον ὅτι εἶ
τις πάνδεινος.
Τῶν τοίνυν πεπραγμένων
Αἰσχίνῃ τούτῳ
ὄντων πολλῶν
καὶ δεινῶν,
καὶ ἐχόντων
πολλὴν κακίαν,

dit-il, *que* j'ai reçu des dons? »
Car cette *objection* est la brillante.
Les faits, Eschine, *l'attestent*,
les faits, qui sont
les plus dignes-de-foi
de tous *les témoignages.*
Et il n'est-pas-permis de dire
ni d'accuser
que *les faits*
sont tels (ont tel ou tel caractère)
ou *pour avoir été* séduits,
ou pour complaire à quelqu'un;
mais, soigneusement-examinés,
ils se montrent tels que
tu as accompli eux
en trahissant et détruisant.
Et, outre les faits,
c'est toi-même *qui*, à l'instant,
déposeras-contre toi-même.
Car t'étant-levé ici,
réponds-moi. [*défendre*,
Tu ne diras pas en effet, *pour t'en*
que tu n'as point,
par inexpérience, [alléguer).
ce que tu puisses-dire (des raisons à
Car *toi* qui, en accusant,
gagnes des procès nouveaux,
comme des pièces-de-théâtre,
et les *gagnes*
sans-déposition-de-témoins,
dans la journée
divisée-en-une-certaine-partie,
il est évident que tu es
un *personnage* tout-à-fait-habile.
Or les *actions* commises
par Eschine ici-présent
étant nombreuses
et très-graves,
et ayant (montrant)
beaucoup de méchanceté;

οὐδέν ἐστιν οὐ μέλλω λέγειν, ὡς ἐγὼ κρίνω, δεινότερον, οὐδ' ὅ τι μᾶλλον δεδωροδοκηκότ' αὐτὸν ἐπαυτοφώρῳ, καὶ πεπρακότα πάντ' ἐξελέγξει. Ἐπειδὴ γὰρ ἀπεστέλλετ' αὖθις αὖ τὸ τρίτον τοὺς πρέσβεις ὡς τὸν Φίλιππον, ἐπὶ ταῖς καλαῖς καὶ μεγάλαις ἐλπίσι ταύταις, αἷς οὗτος ὑπέσχητο, ἐχειροτονήσατε καὶ τοῦτον, κἀμὲ καὶ τῶν ἄλλων τοὺς πλείστους τοὺς αὐτούς. Ἐγὼ μὲν δὴ παρελθὼν ἐξωμοσάμην εὐθέως· καὶ θορυβούντων τινῶν, καὶ κελευόντων βαδίζειν, οὐκ ἂν ἔφην ἀπελθεῖν· οὗτος δ' ἐχειροτόνητο. Ἐπειδὴ δὲ ἀνέστη μετὰ ταῦθ' ἡ ἐκκλησία, συνελθόντες ἐβουλεύοντο οὗτοι, τίν' αὐτοῦ καταλείψουσιν. Ἔτι γὰρ τῶν πραγμάτων ὄντων μετεώρων, καὶ τοῦ μέλλοντος ἀοήλου, συλλογοὶ καὶ λόγοι παντοδαποὶ κατὰ τὴν ἀγορὰν ἐγίγνοντο τότε. Ἐφοβοῦντο δή, μὴ σύγκλητος ἐκκλησία γένοιτο ἐξαίφνης· εἶτ' ἀκού-

que la suivante; il n'en est pas qui le convainque d'une corruption plus flagrante, qui saisisse mieux sa vénalité sur le fait. Vous députiez vers Philippe une nouvelle et troisième ambassade, au sujet des brillantes et magnifiques espérances dont cet orateur avait été l'organe; vous nous aviez nommés, lui et moi, avec la plupart des membres de la députation précédente. Je m'avançai aussitôt, et refusai avec serment. Plusieurs s'animaient et me criaient de partir; je persistai dans mon refus. Eschine avait accepté. L'assemblée se sépare, les députés se réunissent, et délibèrent sur le choix de celui qu'ils laisseront ici : car, dans l'attente d'un résultat et vu l'incertitude de l'avenir, des groupes de toutes les opinions s'étaient formés et conversaient sur la place publique. Les députés craignaient qu'on ne fît tout à coup une convocation extraordinaire, qu'instruits par moi de

ὡς οἶομαι	comme je pense
δοκεῖν καὶ ὑμῖν,	*qu'*il paraît aussi à vous,
οὐδέν ἐστι δεινότερον	aucune n'est plus grave
οὗ μέλλω λέγειν,	que *celle* que je vais dire,
ὡς ἐγὼ κρίνω,	à-ce-que j'estime,
οὐδὲ ὅ τι ἐξελέγξει μᾶλλον	ni qui prouvera mieux
ἐπαυτοφώρῳ	par-le-flagrant-délit
αὐτὸν δεδωροδοκηκότα	iui ayant (qu'il a) reçu-des-présents,
καὶ πεπρακότα πάντα.	et ayant (qu'il a) vendu tout.
Ἐπειδὴ γὰρ ἀπεστέλλετε	Car, lorsque vous envoyiez
αὖθις αὖ	de nouveau encore
τὸ τρίτον	*pour* la troisième *fois*
τοὺς πρέσβεις ὡς τὸν Φίλιππον,	des députés vers Philippe,
ἐπὶ ἐλπίσι ταύταις ταῖς καλαῖς	au sujet de ces espérances belles
καὶ μεγάλαις,	et grandes,
αἷς οὗτος ὑπέσχητο,	que cet *homme* promettait,
ἐχειροτονήσατε καὶ τοῦτον,	vous choisîtes aussi lui (Eschine),
καὶ ἐμέ,	et moi,
καὶ τοὺς πλείστους τῶν ἄλλων	et la plupart des autres
τοὺς αὐτούς.	les mêmes.
Ἐγὼ μὲν δὴ παρελθὼν	Pour moi, m'étant approché,
ἐξωμοσάμην εὐθέως·	je refusai-avec-serment à-l'instant;
καὶ τινῶν θορυβούντων	et, quelques-uns murmurant
καὶ κελευόντων βαδίζειν,	et *m'*exhortant à faire-le-voyage,
ἔφην οὐκ ἂν ἀπελθεῖν·	j'affirmai *que* je ne partirais point;
οὗτος δὲ ἐκεχειροτόνητο.	lui, il avait accepté-son-élection.
Ἐπειδὴ δὲ μετὰ ταῦτα	Mais quand, après cela,
ἡ ἐκκλησία ἀνέστη,	l'assemblée *du peuple* fut levée,
οὗτοι συνελθόντες ἐβουλεύοντο	ceux-ci se réunissant délibérèrent
τίνα καταλείψουσιν αὐτοῦ.	*pour savoir* lequel ils laisseraient ici.
Τῶν γὰρ πραγμάτων ὄντων ἔτι	Car, les choses étant encore
μετεώρων,	en-suspens,
καὶ τοῦ μέλλοντος ἀδήλου,	et l'avenir incertain,
σύλλογοι καὶ λόγοι	groupes et conversations
παντοδαποὶ	de-toutes-sortes
ἐγίγνοντο τότε κατὰ τὴν ἀγοράν.	étaient alors sur la place-publique.
Ἐφοβοῦντο δή,	C'est qu'ils craignaient,
μὴ ἐκκλησία	qu'une assemblée-du-peuple
σύγκλητος γένοιτο ἐξαίφνης·	convoquée n'eût-lieu soudain;
εἶτα ὑμεῖς	*qu'*ensuite vous,

σαντες ὑμεῖς ἐμοῦ τἀληθῆ, ἐπιψηφίσαισθέ τι τῶν δεόντων ὑπὲρ τῶν Φωκέων, καὶ τὰ πράγματ' ἐκφύγοι τὸν Φίλιππον. Εἰ γὰρ ἐψηφίσασθε μόνον, καὶ μικρὰν ὑπεφήνατ' ἐλπίδα ἡντινοῦν αὐτοῖς, ἐσώθησαν ἄν. Οὐ γὰρ ἐνῆν, οὐκ ἐνῆν μὴ παρακρουσθέντων ὑμῶν, μεῖναι Φιλίππῳ. Οὔτε γὰρ σῖτος ἦν ἐν τῇ χώρᾳ, ἀσπόρῳ διὰ τὸν πόλεμον γεγονυίᾳ, οὔθ' ἡ σιτοπομπία δυνατή, τριηρῶν οὐσῶν ὑμετέρων ἐκεῖ, καὶ τῆς θαλάττης κρατουσῶν· αἵ τε πόλεις πολλαί, καὶ χαλεπαὶ λαβεῖν, αἱ τῶν Φωκέων, μὴ οὐ χρόνῳ καὶ πολιορκίᾳ. Εἰ γὰρ ἐν ἡμέρᾳ πόλιν ἥρει, δύο καὶ εἴκοσίν εἰσιν ἀριθμῷ. Διὰ δὴ ταῦτα πάντα, ἵνα μηδὲν μετάθοισθε, ὧν ἐξηπάτησθε, τοῦτον αὐτοῦ κατέλιπον. Ἐξομόσασθαι μὲν δὴ

la vérité, vous ne prissiez sur les Phocidiens une résolution convenable, et que Philippe ne manquât sa proie. En effet, un seul décret émané de vous, la plus faible espérance entrevue du côté d'Athènes, les aurait sauvés. Impossible à Philippe, oui, impossible de tenir plus longtemps, si l'on ne vous eût trompés. Il ne trouvait plus de blé dans un pays resté inculte à cause de la guerre; et il ne pouvait en faire venir, puisque vos vaisseaux étaient là, maîtres de la mer. Les villes de la Phocide, nombreuses, difficiles à réduire, exigeaient du temps et des siéges en règle : qu'importe qu'il en prît une par jour? il y en avait vingt-deux! Par toutes ces raisons, et pour le maintien des mesures que la perfidie vous avait surprises, c'est Eschine qu'ils vous laissèrent. Mais se démettre sans proposer d'ex-

ἀκούσαντες ἐμοῦ
τὰ ἀληθῆ,
ἐπιψηφίσαισθέ τι
τῶν δεόντων
ὑπὲρ τῶν Φωκέων,
καὶ τὰ πράγματα
ἐκφύγοι τὸν Φίλιππον.
Εἰ γὰρ
ἐψηφίσασθε μόνον,
καὶ ὑπεφήνατε αὐτοῖς
ἐλπίδα ἡντινοῦν,
ἐσώθησαν ἄν.
Οὐ γὰρ ἐνῆν,
οὐκ ἐνῆν
Φιλίππῳ μεῖναι,
ὑμῶν μὴ παρακρουσθέντων.
Οὔτε γὰρ σῖτος
ἦν ἐν τῇ χώρᾳ,
γεγονυίᾳ ἀσπόρῳ
διὰ τὸν πόλεμον,
οὔτε ἡ σιτοπομπία
δυνατή,
ὑμετέρων τριηρῶν οὐσῶν ἐκεῖ,
καὶ κρατουσῶν τῆς θαλάττης·
αἱ τε πόλεις,
αἳ τῶν Φωκέων,
πολλαί,
καὶ χαλεπαὶ λαβεῖν,
μὴ οὐ χρόνῳ
καὶ πολιορκίᾳ.
Εἰ γὰρ ἥρει πόλιν
ἐν ἡμέρᾳ,
εἰσὶ δύο καὶ εἴκοσιν ἀριθμῷ.
Διὰ δὴ πάντα ταῦτα,
κατέλιπον αὐτοῦ τοῦτον,
ἵνα μετάθοισθε μηδὲν
ὧν
ἐξηπάτησθε.
Ἐξομόσασθαι μὲν δὴ
μὴ μετὰ τινὸς αἰτίας

ayant (après avoir) appris de moi
la vérité,
vous ne décrétassiez quelqu'une
des *mesures* qu'il fallait
dans-l'intérêt des Phocidiens,
et *que* les affaires (les succès)
n'échappassent à Philippe.
Si, en effet,
vous aviez décrété une seule *mesure*,
et *si* vous aviez fait-entrevoir à eux
espérance quelconque,
ils auraient été sauvés.
Car il n'était pas possible,
il n'était pas possible
à Philippe de tenir-bon,
vous n'ayant pas été surpris.
Ni blé, en effet,
n'était dans la contrée
devenue non-ensemencée
par la guerre,
ni le transport-des-grains
n'*était* possible,
vos trirèmes étant (stationnant) là,
et étant-maîtresses de la mer:
et les villes,
je dis celles des Phocidiens,
étaient nombreuses,
et difficiles à prendre,
si-ce-n'est avec le temps
et par un siége.
Car, *méme* s'il prenait une ville
en un jour,
elles sont deux et vingt de nombre.
A cause donc de tous ces *motifs*,
ils laissèrent ici cet *homme*,
afin que vous ne changeassiez rien
aux décisions pour lesquelles
vous fûtes trompés.
Donner-sa-démission cependant
non avec quelque motif

μὴ μετ' αἰτίας τινός, δεινὸν ἦν, καὶ ὑποψία μεγάλη. « Τί λέγεις; ἐπὶ τοσαῦτα καὶ τηλικαῦτ' ἀγαθὰ οὐχὶ βαδίζεις ἀπαγγείλας, οὐδὲ πρεσβεύεις; » ἔδει δὲ μένειν. Πῶς οὖν; ἀρρωστεῖν προφασίζεται. Καὶ λαβὼν Ἐξήκεστον τὸν ἰατρὸν ἀδελφὸς αὐτοῦ, καὶ προσελθὼν τῇ βουλῇ, ἐξώμοσεν ἀρρωστεῖν τουτονί, καὶ αὐτὸς ἐχειροτονήθη.

Ἐπειδὴ δὲ ἀπωλώλεσαν οἱ Φωκεῖς ὕστερον ἡμέραις πέντε ἢ ἕξ, καὶ τέλος εἶχε τὸ μίσθωμα, ὥσπερ ἂν ἄλλο τι, τούτῳ, καὶ ὁ Δερκύλος ἐκ τῆς Χαλκίδος ἦκεν ἀναστρέψας, καὶ ἀπήγγειλεν ὑμῖν ἐκκλησιάζουσιν ἐν Πειραιεῖ, ὅτι Φωκεῖς ἀπολώλασι· καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἀκούσαντες, εἰκότως κἀκείνοις συνήχθεσθε, καὶ ἑαυτοῖς ἐξεπέπληχθε, καὶ παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν ἐψηφίζεσθε, καὶ τὰ φρούρια ἐπισκευάζειν, καὶ τὸν Πειραιᾶ τειχίζειν, καὶ τὰ Ἡράκλεια ἐν ἄστει

cuse ! c'était choquer, c'était soulever de graves soupçons. « Que dis-tu ? quoi ! tu ne pars pas ! tu repousses la mission de nous assurer tant de grands avantages, toi, leur proclamateur ! » Non, il fallait rester. Comment faire ? il prétexte une maladie. Son frère prend avec lui le médecin Exékestos, se présente au Conseil, jure qu'Eschine est malade, et se fait élire à sa place.

Cependant, cinq ou six jours après, les Phocidiens sont détruits ; Eschine voit consommer son marché, comme un marché ordinaire. Dercylos, qui revenait sur ses pas, arrive de Chalcis, et annonce à notre assemblée du Pirée qu'il n'y a plus de Phocide. A cette nouvelle, ô Athéniens, vous faites votre devoir, vous gémissez sur tant d'infortunés, et, tremblants pour vous-mêmes, vous décrétez le transport des enfants et des femmes hors des campagnes, la réparation des forts, une construction pour protéger le Pirée, la célébra-

ἦν δεινόν,
καὶ μεγάλη ὑποψία.
« Τί λέγεις;
οὐχὶ βαδίζεις
οὐδὲ πρεσβεύεις
ἐπὶ ἀγαθὰ τοσαῦτα
καὶ τηλικαῦτα,
ἀπαγγείλας; »
ἔδει δὲ μένειν.
Πῶς οὖν; προφασίζεται
ἀῤῥωστεῖν.
Καὶ ἀδελφὸς αὐτοῦ
λαβὼν
Ἐξήκεστον τὸν ἰατρόν,
καὶ προσελθὼν τῇ βουλῇ,
ἐξώμοσε τουτονὶ ἀῤῥωστεῖν,
καὶ αὐτὸς ἐχειροτονήθη.

Ἐπειδὴ δὲ οἱ Φωκεῖς
ἀπολώλεσαν
πέντε ἢ ἓξ ἡμέραις ὕστερον,
καὶ τὸ μίσθωμα
εἶχε τέλος
τούτῳ,
ὥσπερ ἂν ἄλλο τι,
καὶ ὁ Δερκύλος ἀναστρέψας
ἦκεν ἐκ τῆς Χαλκίδος,
καὶ ἀπήγγειλεν ὑμῖν
ἐκκλησιάζουσιν ἐν Πειραιεῖ
ὅτι Φωκεῖς ἀπολώλασι·
καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι,
ἀκούσαντες ταῦτα,
εἰκότως
καὶ συνήχθεσθε ἐκείνοις,
καὶ ἐξεπέπληχθε
ἑαυτοῖς,
καὶ ἐψηφίζεσθε
κατακομίζειν ἐκ τῶν ἀγρῶν
παῖδας καὶ γυναῖκας,
καὶ ἐπισκευάζειν τὰ φρούρια,
καὶ τειχίζειν τὸν Πειραιᾶ,

était étrange,
et grand *sujet de* soupçon.
« Que dis-tu?
tu ne te-mets-pas-en-voyage,
et tu ne vas-pas-en-ambassade
au-sujet-d'avantages si-nombreux
et si-considérables,
les ayant (après les avoir) annoncés?»
cependant il fallait rester.
Comment donc *faire?* il prétexte
*qu'*il est malade.
Et le frère de lui
ayant pris *avec lui*
Exékestos le médecin,
et s'étant présenté au Conseil,
jura *que* cet *homme* était malade,
et lui-même fut élu *à sa place*.

Mais lorsque les Phocidiens
eurent péri
cinq ou six jours plus tard,
et *que* le marché
eut accomplissement
pour cet *homme*,
comme un autre *marché*,
et *que* Dercylos, revenu-sur-ses-pas,
fut arrivé de Chalcis,
et eut rapporté à vous
tenant-une-assemblée dans le Pirée
que les Phocidiens sont détruits;
et *que* vous, ô hommes Athéniens,
ayant entendu ces choses,
agissant convenablement,
et vous fûtes indignés pour eux,
et vous fûtes saisis-de-frayeur
pour *vous*-mêmes,
et *que* vous eûtes décrété
de transporter des campagnes
enfants et femmes,
et de réparer les forteresses,
et de garnir-d'un-mur le Pirée,

θύειν· ἐπειδὴ ταῦτ' ἦν, καὶ τοιαύτη ταραχὴ καὶ τοιοῦτος θόρυβος περιειστήκει τὴν πόλιν, τηνικαῦτα ὁ σοφὸς οὑτοσί, καὶ δεινός, καὶ εὔφωνος, οὔτε βουλῆς οὔτε δήμου χειροτονήσαντος αὐτόν, ᾤχετο πρεσβεύων ὡς τὸν ταῦτα πεποιηκότα, οὔτε τὴν ἀρρωστίαν, ἐφ' ᾗ τότ' ἐξωμόσατο, ὑπολογισάμενος, οὔθ' ὅτι πρεσβευτὴς ἄλλος ἥρητο ἀνθ' αὑτοῦ, οὔθ' ὅτι τῶν τοιούτων ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει, οὔθ' ὅτι πάνδεινόν ἐστιν ἀπηγγελκότα, ὡς ἐπικεκήρυκται χρήματ' αὐτῷ ἐν Θήβαις, ἐπειδὴ Θηβαῖοι πρὸς τῷ τὴν Βοιωτίαν ἅπασαν ἔχειν, καὶ τῆς τῶν Φωκέων χώρας ἐγκρατεῖς γεγόνασι, τηνικαῦτα εἰς μέσας τὰς Θήβας, καὶ τὸ τῶν Θηβαίων στρατόπεδον βαδίζειν· ἀλλ' οὕτως ἔκφρων ἦν, καὶ ὅλος πρὸς τῷ λήμματι καὶ τῷ δωροδοκήματι, ὥςθ' ἅπαντα ταῦτ' ἀνελὼν καὶ παριδὼν ᾤχετο.

tion des sacrifices d'Hercule dans la ville. Que fait alors, dans Athènes troublée et épouvantée, le sage, l'habile, le sonore Eschine? Il part en ambassade vers l'auteur de tant de maux; il part sans mandat du Conseil ni du peuple, sans considérer ni la maladie jurée, prétexte de sa démission, ni le choix d'un remplaçant, ni la mort dont la loi punit un tel crime, ni l'absurdité révoltante de traverser Thèbes et l'armée thébaine, maîtresse de la Béotie entière et de la Phocide, après avoir publié que les Thébains avaient mis sa tête à prix; il part oubliant tout, négligeant tout, tant son salaire le pousse, tant la curée le frappe de vertige!

καὶ θύειν ἐν ἄστει
τὰ Ἡράκλεια·
ἐπειδὴ ταῦτα ἦν,
καὶ ταραχὴ τοιαύτη
καὶ τοιοῦτος θόρυβος
περιειστήκει τὴν πόλιν,
τηνικαῦτα οὑτοσὶ ὁ σοφὸς
καὶ δεινὸς καὶ εὔφωνος,
οὔτε βουλῆς οὔτε δήμου
χειροτονήσαντος αὐτόν,
ᾤχετο
πρεσβεύων
ὡς τὸν πεποιηκότα ταῦτα,
ὑπολογισάμενος
οὔτε τὴν ἀῤῥωστίαν
ἐπὶ ᾗ
ἐξωμόσατο τότε,
οὔτε ὅτι ἄλλος πρεσβευτὴς
ἥρητο
ἀντὶ αὐτοῦ,
οὔτε ὅτι ὁ νόμος κελεύει θάνατον
εἶναι τὴν ζημίαν τῶν τοιούτων,
οὔτε ὅτι ἐστὶ πάνδεινον
ἀπηγγελκότα
ὡς χρήματα
ἐπικεκήρυκται
αὐτῷ ἐν Θήβαις,
βαδίζειν εἰς μέσας τὰς Θήβας
καὶ τὸ στρατόπεδον τῶν Θηβαίων
τηνικαῦτα ἐπειδὴ Θηβαῖοι
γεγόνασιν ἐγκρατεῖς
καὶ τῆς χώρας τῶν Φωκέων,
πρὸς τῷ ἔχειν
τὴν Βοιωτίαν ἅπασαν·
ἀλλὰ ἦν ἔκφρων,
καὶ ὅλος πρὸς τῷ λήμματι
καὶ τῷ δωροδοκήματι,
οὕτως ὥστε ᾤχετο
ἀνελὼν
καὶ παριδὼν ἅπαντα ταῦτα.

et de célébrer en ville
les fêtes-d'Hercule ;
lorsque, *dis-je*, ces choses étaient,
et *qu'*un trouble tel,
et un tel tumulte
eut enveloppé la ville,
alors ce sage
et habile et sonore *Eschine*,
ni Conseil ni peuple
n'ayant élu *de nouveau* lui,
s'en alla [l'ambassade
s'acquittant (pour s'acquitter)-de-
vers celui qui avait fait ces *maux*,
ne réfléchissant
ni à la maladie
à-cause-de laquelle
il s'était-démis-avec-serment alors,
ni qu'un autre député
avait été choisi
à-la-place-de lui-même,
ni que la loi ordonne la mort
être la punition de tels *crimes*,
ni qu'il est tout-à-fait-absurde
que celui qui avait dit-dans-un-rap-
qu'une somme-d'argent [port
avait été promise-par-le-héraut
contre lui à Thèbes,
marche au milieu de Thèbes
et du camp des Thébains
alors que les Thébains
sont devenus maîtres
aussi de la contrée des Phocidiens,
indépendamment de posséder
la Béotie entière :
mais il était hors-de-sens,
et tout-entier vers le lucre
et la vénalité,
tellement qu'il partait
ayant supprimé *de sa mémoire*
et ayant négligé tout cela.

Καὶ τοιούτου τοῦ πράγματος ὄντος, ἔτι πολλῷ δεινότερ' ἐστὶν ἃ ἐκεῖσ' ἐλθὼν διεπράξατο. Ἁπάντων γὰρ ὑμῶν τουτωνί, καὶ τῶν ἄλλων Ἀθηναίων, οὕτω δεινὰ καὶ σχέτλια ἡγουμένων τοὺς ταλαιπώρους πάσχειν Φωκέας, ὥστε μήτε τοὺς ἐκ τῆς βουλῆς θεωρούς, μήτε τοὺς θεσμοθέτας εἰς τὰ Πύθια πέμψαι, ἀλλ' ἀποστῆναι τῆς πατρίου θεωρίας, οὗτος εἰς τὰ ἐπινίκια τῶν πραγμάτων καὶ τοῦ πολέμου, ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον, εἱστιᾶτο ἐλθών, καὶ σπονδῶν μετεῖχε καὶ εὐχῶν, ἃς ἐπὶ τοῖς τῶν συμμάχων τῶν ὑμετέρων τείχεσι καὶ χώρᾳ καὶ ὅπλοις ἀπολωλόσιν εὔχετ' ἐκεῖνος· καὶ συνεστεφανοῦτο, καὶ συνεπαιάνιζε Φιλίππῳ, καὶ φιλοτησίας προὔπινε. Καὶ ταῦτ' οὐκ ἔνεστιν ἐμοὶ μὲν οὕτω, τούτῳ δ' ἄλλως πως εἰπεῖν· ἀλλ' ὑπὲρ μὲν τῆς ἐξωμοσίας, ἐν τοῖς κοινοῖς τοῖς ὑμετέροις γράμμασιν ἐν τῷ Μητρῴῳ, ταῦτ'

A cette coupable démarche il mit le comble, à son arrivée près du prince, par une conduite bien plus affreuse encore. Vous tous ici assemblés, vous étiez, avec Athènes entière, si profondément affectés du désastre de la Phocide infortunée, que, suspendant l'exercice de votre droit héréditaire d'être représentés aux jeux pythiques, vous n'y envoyâtes ni théores choisis dans le conseil, ni thesmothètes. Et lui, il assistait aux banquets et aux sacrifices par lesquels Philippe et les Thébains célébraient les résultats de la guerre; il prenait part aux libations et aux actions de grâces du prince pour la destruction des remparts, des campagnes, des armes de vos alliés; couronné de fleurs, à son exemple, il chantait avec lui l'hymne triomphal, il buvait à sa prospérité. Et ici, son récit ne peut différer du mien. Les détails concernant sa démission sont consignés dans vos archives du

Καὶ τοῦ πράγματος
ὄντος τοιούτου,
ἃ διεπράξατο
ἐλθὼν ἐκεῖσέ
ἐστιν ἔτι δεινότερα
πολλῷ.
Ὑμῶν γὰρ ἁπάντων τουτωνί,
καὶ τῶν ἄλλων Ἀθηναίων,
ἡγουμένων
τοὺς ταλαιπώρους Φωκέας
πάσχειν δεινὰ
καὶ σχέτλια
οὕτως ὥστε πέμψαι
εἰς τὰ Πύθια
μήτε τοὺς θεωροὺς ἐκ τῆς βουλῆς,
μήτε τοὺς θεσμοθέτας,
ἀλλὰ ἀποστῆναι
τῆς θεωρίας
πατρίου,
οὗτος εἱστιᾶτο ἐλθὼν
εἰς τὰ ἐπινίκια
τῶν πραγμάτων
καὶ τοῦ πολέμου,
ἃ Θηβαῖοι καὶ Φίλιππος
ἔθυον,
καὶ μετεῖχε σπονδῶν
καὶ εὐχῶν, ἃς ἐκεῖνος εὔχετο
ἐπὶ τοῖς τείχεσι καὶ χώρᾳ
καὶ ὅπλοις ἀπολωλόσι
τῶν συμμάχων τῶν ὑμετέρων·
καὶ συνεστεφανοῦτο Φιλίππῳ,
καὶ συνεπαιάνιζε,
καὶ προὔπινε φιλοτησίας.
Καὶ οὐκ ἔνεστιν ἐμοὶ μὲν
εἰπεῖν ταῦτα οὕτω,
τούτῳ δὲ ἄλλως πως·
ἀλλὰ ὑπὲρ μὲν τῆς ἐξωμοσίας,
ταῦτά ἐστιν
ἐν τοῖς ὑμετέροις γράμμασι
τοῖς κοινοῖς

Et, le fait
étant tel,
les choses qu'il fit
arrivé là (en Macédoine)
sont encore plus révoltantes
de beaucoup.
Vous tous, en effet, ici-présents,
et les autres Athéniens,
estimant
que les infortunés Phocidiens
souffraient des *maux* cruels
et affreux,
l'estimant au point de *n'*envoyer
aux fêtes-Pythiques
ni les théores du Conseil,
ni les thesmothètes,
mais de renoncer
à la députation-religieuse
traditionnelle,
cet *homme* se régalait, étant venu
aux festins-de-victoire
à l'occasion des affaires *terminées*
et de la guerre,
festins que Thébains et Philippe
célébraient,
et il participait aux libations
et aux prières que ce *prince* priait
contre les remparts et la contrée
et les armes détruites
des alliés de-vous;
et il se-couronnait-avec Philippe
et il chantait-le-péan-avec *lui*,
et il buvait des santés.
Et il n'est pas possible à moi
de dire cela ainsi,
et à cet *homme de le dire* autrement:
mais, concernant la démission,
ces *faits* sont *consignés*
dans vos archives
publiques

ἐστίν, ἐφ' οἷς ὁ δημόσιος τέτακται· καὶ ψήφισμα ἄντικρυς περὶ τούτου τοῦ ὀνόματος γέγραπται. Ὑπὲρ δὲ ὧν ἐκεῖ διεπράξατο, οἱ συμπρεσβεύοντες καὶ παρόντες καταμαρτυρήσουσιν, οἵπερ ἐμοὶ ταῦτα διηγοῦντο. Οὐ γὰρ ἔγωγ' αὐτοῖς συνεπρέσβευσα, ἀλλ' ἐξωμοσάμην. Καί μοι λέγε τὸ ψήφισμα, καὶ τὰ γράμματα, καὶ τοὺς μάρτυρας κάλει.

ΨΗΦΙΣΜΑ. ΓΡΑΜΜΑΤΑ. ΜΑΡΤΥΡΕΣ.

Γίνας οὖν εὐχὰς ὑπολαμβάνετ' εὔχεσθαι τοῖς θεοῖς τὸν Φίλιππον, ὅτ' ἔσπενδεν, ἢ τοὺς Θηβαίους; ἆρ' οὐ κράτος πολέμου, καὶ νίκην αὑτοῖς καὶ τοῖς συμμάχοις διδόναι; καὶ τἀναντία τούτων τοῖς τῶν Φωκέων; οὐκοῦν ταῦτα συνεύχετ' οὗτος, καὶ κατηρᾶτο τῇ πατρίδι, ἃ νῦν εἰς κεφαλὴν ὑμᾶς αὐτῷ δεῖ τρέψαι.

13 Οὐκοῦν, ᾤχετο μὲν παρὰ τὸν νόμον, ὃς θάνατον κελεύει τούτων τὴν ζημίαν εἶναι· ἐλθὼν δ' ἐκεῖσε, ἑτέρων θανάτων ἄξια

temple de Cybèle, confiées à un officier public; et l'on y a inscrit l'arrêté qui ordonne d'effacer le nom d'Eschine. Pour sa conduite auprès du monarque, elle va être attestée par ses collègues, par des témoins oculaires, qui me l'ont racontée : car je n'étais pas de l'ambassade, ayant refusé. — Lis l'arrêté avec l'acte de démission, et appelle les témoins.

DÉCRET. PIÈCES. TÉMOINS.

A votre avis, Athéniens, que demandaient aux dieux, par ces libations, Thèbes et Philippe? n'est-ce pas la supériorité militaire, n'est-ce pas la victoire pour eux et leurs alliés? n'est-ce pas le contraire pour les alliés des Phocidiens? Donc, leurs vœux étaient, dans la bouche de l'accusé, des imprécations contre la patrie, imprécations que vous ferez aujourd'hui retomber sur sa tête?

Ainsi, son départ était une contravention à la loi qui punit de mort un pareil crime : à son arrivée, il a encore fait ostensiblement des

ἐν τῷ Μητρῴῳ,
ἐπὶ οἷς ὁ δημόσιος
τέτακται·
καὶ ψήφισμα γέγραπται
ἄντικρυς
περὶ τούτου τοῦ ὀνόματος.
Ὑπὲρ δὲ ὧν διεπράξατο
ἐκεῖ,
οἱ συμπρεσβεύοντες
καὶ παρόντες
καταμαρτυρήσουσιν,
οἵπερ διηγοῦντο ταῦτα ἐμοί.
Ἔγωγε γὰρ
οὐ συνεπρέσβευσα αὐτοῖς·
ἀλλὰ ἐξωμοσάμην.
Καὶ λέγε μοι τὸ ψήφισμα,
καὶ τὰ γράμματα,
καὶ κάλει τοὺς μάρτυρας.

dans le temple-de-Cybèle,
archives auxquelles un *gardien* pu-
a été préposé; [blic
et un décret a été inscrit
manifestement
concernant ce nom-là.
Quant à ce qu'il exécuta
dans-ce-pays,
ses collègues-d'ambassade,
et qui-étaient-présents,
en déposeront-contre *lui*,
eux qui racontaient cela à moi.
Car, pour moi, [sade-avec eux,
je ne m'acquittai-point-de-l'ambas-
mais je donnai-ma-démission.
Et lis-moi le décret,
et l'extrait-des-archives,
et appelle les témoins.

ΨΗΦΙΣΜΑ. ΓΡΑΜΜΑΤΑ. ΜΑΡΤΥΡΕΣ.

DÉCRET. ARCHIVES. TÉMOINS.

Τίνας οὖν εὐχὰς ὑπολαμβάνετε
τὸν Φίλιππον ἢ τοὺς Θηβαίους
εὔχεσθαι τοῖς θεοῖς,
ὅτε ἔσπενδεν;
ἆρα οὐ διδόναι
κράτος πολέμου καὶ νίκην
αὑτοῖς καὶ τοῖς συμμάχοις;
καὶ τὰ ἐναντία τούτων
τοῖς τῶν Φωκέων;
οὐκοῦν οὗτος
συνεύχετο
καὶ κατηρᾶτο τῇ πατρίδι
ταῦτα, ἃ δεῖ ὑμᾶς
τρέψαι νῦν
εἰς κεφαλὴν αὐτῷ.
Οὐκοῦν, ᾤχετο μὲν
παρὰ τὸν νόμον, ὃς κελεύει
θάνατον
εἶναι τὴν ζημίαν τούτων·

Quelles prières donc croyez-vous
que Philippe ou les Thébains
priaient (adressaient) aux dieux,
lorsqu'il faisait-des-libations?
n'*était-ce* pas de donner
supériorité à la guerre et victoire
à eux-mêmes et à *leurs* alliés?
et le contraire de ces choses
aux *alliés* des Phocidiens?
donc cet *homme*
priait-avec *Philippe*
et maudissait-contre sa patrie
ces *malédictions* qu'il faut *que* vous
retourniez maintenant
contre la tête à lui.
Donc il s'en allait, d'une part,
contrairement à la loi qui ordonne
que la mort
soit la punition de ces *crimes:*

ποιῶν πέφανται. Τὰ δὲ πρόσθε πεπραγμένα, καὶ πεπρεσβευμένα ὑπὲρ τούτων, ἀποκτείνειεν ἂν αὐτὸν δικαίως. Σκοπεῖτε τοίνυν, τί ἔσται τίμημα, ὃ τοιαύτην ἕξει τὴν ἀξίαν, ὥστε τοσούτων ἀδικημάτων ἀξιόχρεων φαίνεσθαι. Πῶς γὰρ οὐκ αἰσχρόν, ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἅπαντας ὑμᾶς, καὶ ὅλον τὸν δῆμον, πᾶσι τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης ἐπιτιμᾶν, καὶ μήτε τῶν ἐν Ἀμφικτύοσι κοινωνεῖν ἐθέλειν, δυσκόλως τ' ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων, καὶ οὔτε δικαίων, οὔθ' ὑμῖν συμφερόντων· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας, τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας, καὶ τὸν ὅρκον τὸν ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, τὸν ἅπάντων τῶν

actes qui méritent la mort; et, dans l'ambassade précédente, la mort aurait été le digne prix de sa conduite. Examinez, d'après cela, quelle sera la peine assez haute pour paraître au niveau de tant d'attentats. Quelle honte, en effet, ô Athéniens, si vous, qui, dans l'assemblée nationale, condamnez tous les événements nés de la paix, refusez de participer aux réunions amphictyoniques, et montrez à Philippe un amer dépit et des soupçons, parce que tant d'actes impies et atroces blessent la justice et vos intérêts, si, dis-je, entrés au tribunal pour juger des comptes sur ces mêmes faits, sous la garantie d'un serment

ἐλθὼν δὲ	d'autre part, arrivé
ἐκεῖσε,	là (près de Philippe),
πέφανται	il a paru-évidemment
ποιῶν ἄξια	faisant des choses dignes
ἑτέρων θανάτων.	d'autres morts.
Τὰ δὲ πεπραγμένα πρόσθε	Et les choses faites auparavant
καὶ πεπρεσβευμένα	et négociées-dans-l'ambassade
ὑπὲρ τούτων	au sujet de cela (du sort des Phoci-
ἀποκτείνειεν ἂν αὐτὸν	auraient fait-mourir lui [diens)
δικαίως.	justement.
Σκοπεῖτε τοίνυν,	Examinez donc
τί ἔσται τίμημα	quel sera le châtiment
ὃ ἕξει τὴν ἀξίαν τοιαύτην	qui aura une valeur telle
ὥστε φαίνεσθαι ἀξιόχρεων	que de paraître proportionné
τοσούτων ἀδικημάτων.	à tant d'iniquités.
Πῶς γὰρ	Comment, en effet,
οὐκ αἰσχρόν,	ne *serait-il* pas honteux,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
δημοσίᾳ μὲν	*que* publiquement, d'une part,
ὑμᾶς ἅπαντας	vous tous
καὶ τὸν δῆμον ὅλον,	et le peuple entier,
ἐπιτιμᾷν	vous condamniez
πᾶσι τοῖς πεπραγμένοις	toutes les choses faites
ἐκ τῆς εἰρήνης,	par-suite-de la paix
καὶ μήτε ἐθέλειν	et *que* vous ne consentiez point
κοινωνεῖν	à participer
τῶν ἐν Ἀμφικτύοσιν,	aux *réunions* entre Amphictyons,
ἔχειν τε	et que vous soyez *disposés*
δυσκόλως	avec-malveillance
καὶ ὑπόπτως	et avec-soupçon
πρὸς τὸν Φίλιππον,	envers Philippe, [étant (sont)
ὡς τῶν πεπραγμένων ὄντων	comme (parce que) les choses faites
ἀσεβῶν καὶ δεινῶν,	impies et horribles,
καὶ οὔτε δικαίων,	et non justes,
οὔτε συμφερόντων ὑμῖν·	ni avantageuses pour vous
εἰσελθόντας δὲ	et que, d'autre part, étant entrés
εἰς τὸ δικαστήριον δικάσοντας	au tribunal devant (pour) juger
τὰς εὐθύνας ὑπὲρ τούτων,	les comptes concernant ces *affaires*,
καὶ ὀμωμοκότας	et ayant (après avoir) juré
τὸν ὅρκον	le serment

κακῶν αἴτιον, καὶ ὃν εἵλήφατ' ἐπαυτοφώρῳ τοιαῦτα πεποιηκότα, τοῦτον ἀφεῖναι; Καὶ τίς οὐ δικαίως ὑμῖν ἐγκαλέσει τῶν ἄλλων πολιτῶν, μᾶλλον δ' ἁπάντων τῶν Ἑλλήνων, ὁρῶν Φιλίππῳ μὲν ὑμᾶς ὀργιζομένους, ὃς ἐκ πολέμου ποιούμενος εἰρήνην, παρὰ τῶν πωλούντων τὰς πράξεις ἐωνεῖτο, πρᾶγμα πολλὴν συγγνώμην ἔχον διαπραττόμενος, τουτονὶ δὲ ἀφιέντας, ὃς τὰ ὑμέτερα οὕτως αἰσχρῶς ἀπέδοτο, τῶν νόμων τὰ ἔσχατα ταττόντων ἐπιτίμια, ἐάν τις ταῦτα ποιῇ;

Τάχα τοίνυν ἴσως καὶ τοιοῦτος ἥξει τις λόγος παρὰ τούτων, ὡς ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας, εἰ τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφιεῖσθε. Ἐγὼ δ', εἰ τοῦτ' ἔστιν ἀληθές, οὐκ ἔχω σκοπούμενος εὑρεῖν, ὅ τι τούτου μεῖζον κατηγο-

prononcé au nom de la République, vous renvoyez absous l'auteur de tant de calamités, le traître pris par vous en flagrant délit! Est-il un Athénien, est-il un Hellène qui ne se levât contre vous, s'il vous voyait, d'une part, furieux contre Philippe, qui, pour substituer la paix à la guerre, achetait, chose très-excusable, les intérêts de la Grèce des trafiquants qui les vendent; de l'autre, faisant grâce à l'infâme qui vous a livrés, lorsque les lois infligent le dernier supplice à de tels coupables?

On ira peut-être jusqu'à dire que ce serait une cause de rupture avec Philippe, de condamner les négociateurs de la paix. En supposant cette objection fondée, je chercherais en vain un plus fort grief

τὸν ὑπὲρ τῆς πόλεως,
ἀφεῖναι τοῦτον,
τὸν αἴτιον ἁπάντων τῶν κακῶν,
καὶ ὃν εἰλήφατε
ἐπαυτοφώρῳ
πεποιηκότα τοιαῦτα;
Καὶ τίς οὐκ ἐγκαλέσει ὑμῖν
δικαίως
τῶν ἄλλων πολιτῶν,
μᾶλλον δὲ
ἁπάντων τῶν Ἑλλήνων,
ὁρῶν ὑμᾶς ὀργιζομένους μὲν
Φιλίππῳ,
ὃς ποιούμενος
εἰρήνην ἐκ πολέμου,
ἐωνεῖτο τὰς πράξεις
παρὰ τῶν πωλούντων,
διαπραττόμενος πρᾶγμα
ἔχον
πολλὴν συγγνώμην,
ἀφιέντας δὲ
τουτονί,
ὃς ἀπέδοτο τὰ ὑμέτερα
οὕτως αἰσχρῶς,
τῶν νόμων
τατόντων τὰ ἔσχατα ἐπιτίμια,
ἐάν τις
ποιῇ ταῦτα;
Τάχα τοίνυν ἴσως
καί τις λόγος τοιοῦτος
ἥξει παρὰ τούτων,
ὡς γενήσεται
ἀρχὴ ἔχθρας
τῆς πρὸς Φίλιππον,
εἰ καταψηφιεῖσθε
τῶν πρεσβευσάντων τὴν εἰρήνην.
Ἐγὼ δέ, εἰ τοῦτο ἔστιν ἀληθές,
σκοπούμενος
οὐκ ἔχω εὑρεῖν
ὅ τι μεῖζον τούτου

qui est dans-l'intérêt-de la Républi-
vous acquittiez cet *homme*, [que,
l'auteur de tous les maux,
et que vous avez pris
en-flagrant-délit
faisant de telles choses?
Et lequel n'accusera pas vous
justement
parmi les autres citoyens,
ou plutôt
parmi tous les Hellènes,
en voyant vous irrités, d'un côté,
contre Philippe,
qui, faisant (pour faire)
paix de guerre (succéder la paix à la
achetait les succès [guerre),
de ceux qui *les* vendent,
exécutant *en cela* une chose
qui a (qui mérite)
grande indulgence,
et acquittant, d'un autre côté,
cet *homme*,
qui vendait vos *intérêts*
si honteusement,
les lois
fixant les derniers supplices,
si quelqu'un (contre celui qui)
fait cela?
Or bientôt peut-être
aussi un discours tel *que celui-ci*
viendra d'eux,
à savoir que *ce* deviendra
cause de haine
entre Philippe *et vous*,
si vous condamnez
ceux qui négocièrent la paix.
Pour moi, si cela est vrai,
même en réfléchissant,
je ne puis trouver
quel plus grand *grief* que celui-là

ῥήσω. Εἰ γὰρ ὁ τῆς εἰρήνης χρήματ' ἀναλώσας ὥςτε τυχεῖν, οὗτος οὕτω γέγονε φοβερὸς καὶ μέγας, ὥςτε τῶν ὅρκων καὶ τῶν δικαίων ἀμελήσαντας ὑμᾶς ἤδη, τί Φιλίππῳ χαριεῖσθε, σκοπεῖν, τί παθόντες ἂν οἱ τούτων αἴτιοι, τὴν προσήκουσαν δίκην δεδωκότες εἶεν; Οὐ μὴν ἀλλ' ὅτι καὶ φιλίας ἀρχὴ συμφερούσης ὑμῖν οὕτω μᾶλλον ἐκ τῶν εἰκότων γενήσεται, καὶ τοῦτ' οἶομαι δείξειν. Εὖ γὰρ εἰδέναι χρὴ τοῦθ', ὅτι οὐ καταφρονεῖ Φίλιππος, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς πόλεως τῆς ὑμετέρας, οὐδ' ἀχρηστοτέρους νομίσας ὑμᾶς Θηβαίων, ἐκείνους εἵλετ' ἀνθ' ὑμῶν. Ἀλλ' ὑπὸ τούτων ἐδιδάχθη, καὶ ταῦτ' ἤκουσεν, ἅπερ καὶ πρότερόν ποτ' εἶπον ἐγὼ πρὸς ὑμᾶς ἐν τῷ δήμῳ, καὶ τούτων οὐδεὶς ἀντεῖπεν· ὡς ὁ μὲν δῆμός ἐστιν ὄχλος, ἀσταθμητότατον πρᾶγμα τῶν ἁπάντων, καὶ ἀσυνθετώτατον, ὥςπερ ἐν θαλάττῃ πνεῦμα ἀκατάστατον, ὡς ἂν τύχῃ, κινούμενον. Ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθε[1].

contre Eschine. En effet, si le prince qui a prodigué son or afin d'obtenir la paix est devenu assez puissant, assez redoutable pour vous réduire à capter ses bonnes grâces, au mépris de vos serments et de vos droits, par quel supplice les auteurs d'un tel résultat satisferont-ils la vindicte publique? Mais je vais plus loin, et j'espère démontrer que, selon toutes les apparences, cette condamnation sera plutôt le principe d'une amitié avantageuse pour nous. Philippe, sachez-le bien, hommes d'Athènes, ne méprise point votre république; et, s'il vous préfère les Thébains, ce n'est pas qu'il vous croie des amis moins utiles : mais les traîtres lui ont donné des renseignements que je leur reprochai un jour devant vous, à la face de la nation, et qu'aucun d'eux n'osa nier; ils lui ont dit : « Le peuple, remuante multitude, est chose inconstante, irréfléchie à l'excès; c'est la vague qu'un

κατηγορήσω.
Εἰ γὰρ
ὁ ἀναλώσας χρήματα
ὥστε τυχεῖν τῆς εἰρήνης,
οὗτος γέγονε
φοβερὸς καὶ μέγας
οὕτως ὥστε ὑμᾶς, ἀμελήσαντας
τῶν ὅρκων καὶ τῶν δικαίων,
ἤδη σκοπεῖν
τί χαριεῖσθε
Φιλίππῳ,
τί παθόντες
οἱ αἴτιοι τούτων
ἂν εἶεν δεδωκότες
τὴν δίκην προσήκουσαν;
Οὐ μὴν ἀλλὰ οἶομαι δείξειν
καὶ τοῦτο, ὅτι καὶ ἀρχὴ
φιλίας συμφερούσης ὑμῖν
γενήσεται οὕτω μᾶλλον
ἐκ τῶν εἰκότων.
Χρὴ γὰρ εὖ εἰδέναι τοῦτο,
ὅτι Φίλιππος οὐ καταφρονεῖ
τῆς πόλεως τῆς ὑμετέρας,
ὦ ἄνδρες Ἀθηναῖοι,
οὐδὲ νομίσας ὑμᾶς
ἀχρηστοτέρους
Θηβαίων,
εἵλετο ἐκείνους ἀντὶ ὑμῶν.
Ἀλλὰ ἐδιδάχθη ὑπὸ τούτων,
καὶ ἤκουσε ταῦτα,
ἅπερ καὶ ἐγὼ
εἶπον πρότερόν ποτε
πρὸς ὑμᾶς ἐν τῷ δήμῳ,
καὶ οὐδεὶς τούτων ἀντεῖπεν·
ὡς ὁ μὲν δῆμός
ἐστιν ὄχλος,
πρᾶγμα ἀσταθμητότατον
τῶν ἁπάντων,
καὶ ἀσυνθετώτατον,
κινούμενον ὡς ἂν τύχῃ,

je déclarerai-dans-l'accusation.
Car si
celui qui a dépensé de l'argent
pour obtenir la paix,
si celui-là est devenu
redoutable et grand
tellement que vous, négligeant
les serments et les droits,
déjà chercher (vous cherchiez)
en quoi vous complairez
à Philippe,
quelle *peine* souffrant
les auteurs de ces *désordres*
seraient-ils ayant donné (auraient-ils
la satisfaction convenable? [donné)
D'ailleurs j'espère prouver [ment
encore ceci, que même commence-
d'une amitié utile à vous
en résultera ainsi plutôt
d'après la vraisemblance.
Car il faut bien savoir ceci,
que Philippe ne méprise pas
votre république,
ô hommes Athéniens,
ni *que*, croyant vous
plus inutiles *pour lui*
que les Thébains,
il a préféré ceux-ci à vous.
Mais il fut instruit par ces *députés*,
et il apprit *d'eux* ces choses,
que aussi moi-même
j'ai dites précédemment quelque-jour
à vous en assemblée-populaire,
et *qu'*aucun d'eux ne contredit :
à savoir que l'assemblée-populaire
est une cohue,
chose la-moins-stable
de toutes,
et la-moins-unie, [sard),
agitée comme il se trouve (au ha-

μέλει δ' οὐδενὶ τῶν κοινῶν, οὐδὲ μέμνηται. Δεῖ δέ τινας φίλους ὑπάρχειν τοὺς ἕκαστα πράξοντας ἐν ὑμῖν αὐτῷ, καὶ διοικήσοντας, οἷον ἂν αὐτῷ δοκῇ[1]. Κἄνπερ αὐτῷ τοῦτο κατασκευασθῇ, πᾶν ὅ τι ἂν βούληται παρ' ὑμῖν, ῥᾳδίως διαπράξεται. Εἰ μὲν οὖν ἤκουσεν, οἶμαι, τοὺς τότε ταῦτα πρὸς αὐτὸν εἰπόντας, παραχρῆμα, ὡς δεῦρ' ἐπανῆλθον, ἀποτετυμπανισμένους, ἐποίησεν ἂν ταὐτὸ τῷ βασιλεῖ. Τί δ' ἦν, ὃ ἐκεῖνος ἐποίησεν; ἐξαπατηθεὶς ὑπὸ Τιμαγόρου, καὶ τετταράκοντα τάλαντα, ὡς λέγεται, δεδωκὼς αὐτῷ, ἐπειδὴ ἐπύθετο αὐτὸν παρ' ὑμῖν τεθνεῶτα, καὶ οὐδὲ τοῦ ζῆν ὄντα κύριον ἑαυτῷ βεβαιῶσαι, μή τί γ', ἃ ἐκείνῳ τόθ' ὑπέσχετο, πρᾶξαι, ἔγνω τὴν τιμὴν οὐχὶ τῷ κυρίῳ τῶν πραγμά-

souffle capricieux agite en désordre sur les mers : l'un vient, l'autre s'en va ; aucun n'a souci ni mémoire de la chose publique. Il faut donc que tu aies dans Athènes quelques amis qui, à chaque occasion, travailleront pour toi, et règleront tout à ton gré. Procure-toi cet appui, et, parmi les Athéniens, tu feras sans peine tout plier sous ton bon plaisir. » Si donc Philippe avait ouï dire qu'immédiatement après leur retour, les citoyens qui lui avaient tenu ce langage venaient d'être livrés au supplice, il aurait, je n'en doute pas, imité le roi de Perse. Et qu'a fait ce roi ? Il avait donné, dit-on, quarante talents à Timagoras, qui l'avait abusé sur son crédit ; mais, lorsqu'il sut que vous l'aviez mis à mort, et que, loin de réaliser ses promesses, il n'avait pu même garantir ses jours, il reconnut que celui qu'il avait honoré de ses dons ne disposait pas des événements. En consé-

ὥςπερ πνεῦμα ἀκατάστατον	comme un souffle inconstant
ἐν θαλάττῃ.	sur mer.
Ὁ μὲν ἦλθεν,	Celui-ci vient,
ὁ δὲ ἀπῆλθε· μέλει δὲ οὐδενὶ	celui-là s'en va ; souci-*n*'est à aucun
τῶν κοινῶν,	des *affaires* publiques,
οὐδὲ μέμνηται.	*aucun* ne s'*en* souvient.
Δεῖ δέ	Il faut donc
τινας φίλους	*que* quelques amis *de Philippe*
ὑπάρχειν, τοὺς πράξοντας αὐτῷ	soient-là, qui feront pour lui
καὶ διοικήσοντας ἕκαστα	et règleront chaque chose
οἷον ἂν δοκῇ αὐτῷ.	comme il peut-sembler-bon à lui.
Καὶ ἅνπερ τοῦτο	Et, si cela
κατασκευασθῇ αὐτῷ,	est préparé pour lui,
διαπράξεται ῥᾳδίως	il accomplira aisément
παρὰ ὑμῖν πᾶν ὅ τι ἂν βούληται.	chez vous tout ce qu'il voudra.
Εἰ μὲν οὖν, οἶμαι, ἤκουσε	Si donc, je crois, *Philippe* eût appris
τοὺς εἰπόντας ταῦτα τότε	*que* ceux qui disaient cela alors
πρὸς αὐτόν,	à lui,
ἀποτετυμπανισμένους	*avaient été* livrés-au-supplice
παραχρῆμα ὡς ἐπανῆλθον δεῦρο,	aussitôt après qu'ils revinrent ici,
ἐποίησεν ἂν τὸ αὐτὸ	il aurait fait la même chose
τῷ βασιλεῖ.	que le roi *de Perse*.
Τί δὲ ἦν, ὃ ἐκεῖνος ἐποίησεν;	Or, qu'est-ce que celui-ci fit?
ἐξαπατηθεὶς ὑπὸ Τιμαγόρου,	ayant été trompé par Timagoras,
καὶ δεδωκὼς αὐτῷ	et ayant donné à lui
τετταράκοντα τάλαντα,	quarante talents,
ὡς λέγεται,	comme il est dit,
ἔγνω	il reconnut
δεδωκὼς τὴν τιμὴν	ayant (avoir) donné la récompense
οὐχὶ τῷ κυρίῳ	à un *homme qui* n'*était* pas maître
τῶν πραγμάτων,	des événements,
ἐπειδὴ ἐπύθετο	après qu'il eut appris
αὐτὸν τεθνεῶτα	lui ayant (qu'il avait) été mis-à-mort
παρὰ ὑμῖν,	chez vous,
καὶ οὐδὲ βεβαιῶσαι	et *qu*'il n'avait point assuré
ἑαυτῷ	à lui-même
ὄντα κύριον τοῦ ζῆν,	étant (d'être) maître de vivre,
μή τί γε πρᾶξαι	bien loin *d'être maître* de faire
ἃ ὑπέσχετο	ce qu'il avait promis
ἐκείνῳ τότε.	à ce *prince* alors.

των δεδωκώς. Καὶ γάρ τοι, πρῶτον μὲν Ἀμφίπολιν, πόλιν ὑμετέραν, δούλην κατέστησεν[1], ἣν τότε σύμμαχον αὐτοῦ καὶ φίλην ἔγραψεν. Εἶτ' οὐδενὶ πώποτ' ἔδωκε χρήματα τοῦ λοιποῦ. Ταὐτὸ τοίνυν τοῦτ' ἂν ἐποίησεν ὁ Φίλιππος, εἴ τινα τούτων εἶδε δίκην διδόντα, καὶ νῦν, ἂν ἴδῃ, ποιήσει. Ἐπειδὰν δ' ἀκούσῃ λέγοντας εὐδοκιμοῦντας ἐν ὑμῖν, ἑτέρους κρίνοντας, τί καὶ ποιήσῃ; ζητῇ πολλ' ἀναλίσκειν, ἐξὸν ἐλάττω; καὶ πάντας θεραπεύειν βούληται, δύο ἢ τρεῖς ἐξόν; μαίνοιτο μέντ' ἄν. Οὐδὲ γὰρ τὴν τῶν Θηβαίων πόλιν εἵλετο δημοσίᾳ ποιεῖν ὁ Φίλιππος εὖ· πολλοῦ γε καὶ δεῖ. Ἀλλ' ὑπὸ τῶν πρέσβεων ἐπείσθη. Ὃν δὲ τρόπον, φράσω πρὸς ὑμᾶς ἐγώ. Ἦλθον ὡς αὐτὸν πρέσβεις ἐκ Θηβῶν, ὅτε περ καὶ παρ' ὑμῶν ἡμεῖς ἦμεν ἐκεῖ. Τούτοις χρή-

quence, il rangea parmi les cités alliées et amies de son empire notre ville d'Amphipolis, qu'il avait asservie; et, par la suite, il ne donna plus d'argent à personne. Ainsi aurait agi Philippe, s'il eût appris le châtiment de quelque député; ainsi agira-t-il, s'il l'apprend. Mais, s'il les voit écoutés, applaudis par vous, s'il les voit accuser leurs concitoyens, que fera-t-il? Cherchera-t-il à dépenser beaucoup, pouvant faire peu de frais? Voudra-t-il étendre ses services sur tous les Athéniens, pouvant se borner à deux ou trois? Ce ferait folie! Même au peuple de Thèbes Philippe n'a pas spontanément fait du bien, il s'en faut de beaucoup; ce fut une députation qui l'y détermina; et voici comment. Il vint près de lui des ambassadeurs thébains, tandis que nous y étions par vos ordres. Le prince voulut leur donner de

Καὶ γάρ τοι, πρῶτον μὲν
κατέστησε δούλην
Ἀμφίπολιν, πόλιν ὑμετέραν,
ἣν ἔγραψε τότε
σύμμαχον αὐτοῦ καὶ φίλην.
Εἶτα ἔδωκε χρήματα
οὐδενὶ πώποτε τοῦ λοιποῦ.
Ὁ τοίνυν Φίλιππος ἂν ἐποίησε
τοῦτο τὸ αὐτό,
εἰ εἶδέ τινα τούτων
διδόντα δίκην,
καὶ ποιήσει νῦν,
ἂν ἴδῃ.
Ἐπειδὰν δὲ
ἀκούσῃ λέγοντας
εὐδοκιμοῦντας
ἐν ὑμῖν,
κρίνοντας ἑτέρους,
τί καὶ ποιήσῃ;
ζητῇ
ἀναλίσκειν πολλά,
ἐξὸν
ἐλάττω;
καὶ βούληται θεραπεύειν
πάντας,
ἐξὸν
δύο ἢ τρεῖς;
μαίνοιτο μέντοι ἄν.
Ὁ γὰρ Φίλιππος οὐδὲ εἵλετο
ποιεῖν εὖ
δημοσίᾳ
τὴν πόλιν τῶν Θηβαίων·
καὶ δεῖ πολλοῦ γε.
Ἀλλὰ ἐπείσθη ὑπὸ τῶν πρέσβεων.
Ἐγὼ δὲ φράσω πρὸς ὑμᾶς
ὃν τρόπον.
Πρέσβεις ἦλθον ὡς αὐτὸν
ἐκ Θηβῶν, ὅτε περ καὶ ἡμεῖς
ἦμεν ἐκεῖ
παρὰ ὑμῶν.

En conséquence, dans-le-commen-
il rendit esclave (asservit) [cement
Amphipolis, ville *qui était* vôtre,
laquelle il inscrivit alors
comme alliée de lui et amie.
De plus, il *ne* donna de l'argent
à personne jamais dans la suite.
Donc Philippe aurait fait
cette chose même,
s'il eût vu quelqu'un de ceux-ci
donnant satisfaction (puni),
et il fera *la même chose* maintenant,
s'il voit *quelqu'un puni.*
Quand, au-contraire, [parlent),
il entend *dire eux* parlant (qu'ils
étant (sont)-en-réputation
parmi vous,
accusant (accusent) les autres,
que fera-t-il?
cherchera-t-il
à dépenser beaucoup *en dons*,
étant-loisible *à lui*
de dépenser moins?
et voudra-t-il obliger *par ses dons*
tous *les Athéniens,*
étant-loisible *d'en obliger*
deux cu trois *seulement?*
il serait insensé certainement.
Car Philippe n'a pas préféré
de traiter bien
dans-la-masse-du-peuple
la cité des Thébains;
et il s'en faut de beaucoup, certes.
Mais il *y* fut engagé par des députés.
Or je dirai à vous
de quelle manière *il y fut engagé.*
Des députés vinrent vers lui
de Thèbes, lorsque nous aussi
nous étions là (en Macédoine)
venus de chez vous.

ματ' ἐκεῖνος ἠβούλετο δοῦναι, καὶ πάνυ γε, ὡς ἔφασαν, πολλά. Οὐκ ἐδέξαντο, οὐδ' ἔλαβον ταῦτα οἱ τῶν Θηβαίων πρέσβεις. Μετὰ ταῦτα ἐν θυσίᾳ τινὶ καὶ δείπνῳ πίνων καὶ φιλανθρωπευόμενος πρὸς αὐτοὺς ὁ Φίλιππος, ἄλλα τε δὴ πολλά, οἷον αἰχμάλωτα καὶ τοιαῦτα, καὶ τελευτῶν, ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ προὔπινεν αὐτοῖς. Ταῦτα πάντα ἐκεῖνοι διωθοῦντο, καὶ οὐδαμῆ προίεντο ἑαυτούς. Τελευτῶν δέ, Φίλων, εἷς τῶν πρέσβεων, εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγον, οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ ὑμῶν ἄξιον εἰρῆσθαι· ἔφη γάρ, τὸν Φίλιππον ὁρῶν μεγαλοψύχως καὶ φιλανθρώπως ἔχοντα πρὸς αὐτούς, ἥδεσθαι καὶ χαίρειν. Αὐτοὶ μὲν οὖν ὑπάρχειν αὐτῷ φίλοι καὶ ξένοι καὶ ἄνευ τῶν δώρων τούτων. Εἰς δὲ τὰ τῆς πόλεως πράγματα, ἐν οἷς ἦν τότε, τὴν φιλανθρωπίαν αὐτὸν ἠξίουν ταύτην προσθέντα, ἄξιόν τι καὶ αὐτοῦ

l'argent, beaucoup d'argent, ont-ils dit. Ils repoussèrent ses largesses. Plus tard, dans un festin, à la suite d'un sacrifice, Philippe, buvant avec eux et les comblant de caresses, leur prodigua des offres d'une espèce différente : des captifs, du butin, enfin des coupes d'or et d'argent. La légation thébaine rejeta tout, et garda son indépendance. Philon, l'un de ses membres, fit, pour terminer, une réponse qui serait mieux placée dans la bouche des représentants d'Athènes que de Thèbes. « Prince, dit-il, les dispositions généreuses et amies que tu nous montres nous sont douces et chères : mais nous n'avons pas besoin de ces dons pour être tes amis et tes hôtes. C'est aux intérêts qui se débattent maintenant dans notre patrie que nous te prions d'appliquer ta bienveillance. Fais quelque chose qui soit digne

Ἐκεῖνος ἠβούλετο δοῦναι — Ce *prince* voulait donner
τούτοις χρήματα, — à eux de l'argent,
καὶ πάνυ γε πολλά, — et tout-à-fait beaucoup,
ὡς ἔφασαν. — comme ils disaient.
Οἱ πρέσβεις τῶν Θηβαίων — Les députés des Thébains
οὐκ ἐδέξαντο οὐδὲ ἔλαβον ταῦτα. — n'accueillirent ni ne reçurent cela.
Μετὰ ταῦτα ὁ Φίλιππος — Après cela Philippe
πίνων ἐν τινὶ θυσίᾳ — buvant en un certain sacrifice
καὶ δείπνῳ, — et banquet,
καὶ φιλανθρωπευόμενος — et témoignant-de-l'amitié
πρὸς αὐτούς, — à eux,
προὔπινεν αὐτοῖς — offrit à eux
ἄλλα τε δὴ πολλά, — et d'autres *dons* en-grand-nombre,
οἷον αἰχμάλωτα καὶ τοιαῦτα, — comme captifs et pareilles choses,
καὶ τελευτῶν, — et finissant (finalement),
ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ. — coupes d'-argent et d'-or.
Ἐκεῖνοι διωθοῦντο πάντα ταῦτα, — Eux repoussèrent tous ces dons,
καὶ οὐδαμῇ προΐεντο ἑαυτούς. — et nullement ne livrèrent eux-mêmes.
Τελευτῶν δέ, Φίλων, — Et finissant (finalement), Philon,
εἷς τῶν πρέσβεων, — un des ambassadeurs *thébains*,
ὦ ἄνδρες Ἀθηναῖοι, — ô hommes athéniens,
εἶπε λόγον — dit *à Philippe* un discours
ἄξιον εἰρῆσθαι, — digne d'être dit,
οὐχ ὑπὲρ Θηβαίων, — non pas au-nom-des Thébains,
ἀλλὰ ὑπὲρ ὑμῶν· — mais au-nom-de vous;
ἔφη γὰρ — il dit, en effet,
ἥδεσθαι — *qu'*il éprouvait-du-plaisir
καὶ χαίρειν, ὁρῶν τὸν Φίλιππον — et se réjouissait, en voyant Philippe
ἔχοντα πρὸς αὐτοὺς — disposé envers eux
μεγαλοψύχως καὶ φιλανθρώπως. — magnanimement et amicalement.
Αὐτοὶ μὲν οὖν ὑπάρχειν — Eux cependant se-trouvaient-être
αὐτῷ — pour lui
φίλοι καὶ ξένοι, — des amis et des hôtes,
καὶ ἄνευ τῶν δώρων τούτων. — même sans ces dons-là.
Ἠξίουν δὲ αὐτὸν — Ils demandaient donc *que* lui,
προσθέντα — appliquant
ταύτην τὴν φιλανθρωπίαν — cette bienveillance
εἰς τὰ πράγματα τῆς πόλεως, — aux affaires de *leur* ville,
ἐν οἷς ἦν τότε, — dans lesquelles elle était alors,
πρᾶξαί τι ἄξιον — fît quelque chose de digne

καὶ τῶν Θηβαίων πρᾶξαι. Καὶ ὅλην τε τὴν πόλιν οὕτω καὶ σφᾶς ὡμολόγουν ὑπάρξειν αὐτῷ.

Καὶ γάρ τοι σκέψασθε, τί τοῖς Θηβαίοις γέγονεν ἐκ τούτων, καὶ τί συμβέβηκε. Καὶ θεάσασθε ἐπ' αὐτῆς τῆς ἀληθείας, ἡλίκον ἐστὶ τὸ μὴ πωλεῖν τὰ τῆς πόλεως. Πρῶτον μὲν τοίνυν εἰρήνη γέγονεν αὐτοῖς, πονοῦσι καὶ ταλαιπωρουμένοις ἤδη τῷ πολέμῳ, καὶ ἡττωμένοις. Εἶτα τῶν ἐχθρῶν Φωκέων ἄρδην ὄλεθρος, καὶ ὅλων τῶν τειχῶν καὶ τῶν πόλεων ἀναίρεσις. Ἆρα καὶ μόνα ταῦτα; οὐ μὰ Δί', ἀλλ' ἔτι πρὸς τούτοις, Ὀρχομενός, Κορώνεια, Κορσιαί, τὸ Τιλφωσσαῖον[1], τῆς τῶν Φωκέων χώρας ὅσην ἠβούλοντο. Τοῖς μὲν δὴ Θηβαίοις ταῦτ' ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' ἂν εὔξαιντο δήπου μείζονα. Τοῖς δὲ πρέσβεσι τοῖς τῶν Θηβαίων τί; οὐδέν, πλὴν τὸ τούτων αἰτίοις γεγενῆσθαι τῇ πατρίδι.

de toi et de Thèbes : à ce prix, tous les Thébains et leurs députés sont à Philippe. »

Or, examinez ce qui est résulté de là pour les Thébains, et apprenez de la vérité même combien il importe de ne pas vendre les intérêts de la patrie. Thèbes obtint d'abord la paix dans un temps où, fatiguée, épuisée par la guerre, elle succombait; puis la ruine totale de la Phocide, son ennemie, la destruction de toutes ses villes, de tous ses forts. Est-ce là tout? non, par Jupiter! ajoutez Orchomène, Coronée, Corsies, Tilphossée, et du territoire phocidien tout ce qu'elle a voulu. Voilà ce qu'ont gagné les Thébains à la paix; et, sans doute, ils n'auraient jamais élevé leurs vœux plus haut. Et leurs députés, qu'ont-ils gagné? rien, que l'honneur d'avoir servi leur

καὶ αὐτοῦ καὶ τῶν Θηβαίων.
Καὶ ὡμολόγουν
ὅλην τε τὴν πόλιν
καὶ σφᾶς ὑπάρξειν αὐτῷ
οὕτω.
Καὶ γάρ τοι σκέψασθε
τί γέγονε καὶ τί συμβέβηκεν
ἐκ τούτων τοῖς Θηβαίοις.
Καὶ θεάσασθε
ἐπὶ τῆς ἀληθείας αὐτῆς,
ἡλίκον ἐστὶ
τὸ μὴ πωλεῖν
τὰ τῆς πόλεως.
Πρῶτον μὲν τοίνυν εἰρήνη
γέγονεν αὐτοῖς πονοῦσι
καὶ ταλαιπωρουμένοις ἤδη
τῷ πολέμῳ, καὶ ἡττωμένοις.
Εἶτα ὄλεθρος ἄρδην
Φωκέων τῶν ἐχθρῶν,
καὶ ἀναίρεσις ὅλων τῶν τειχῶν
καὶ τῶν πόλεων.
Ἆρα καὶ
ταῦτα μόνα;
οὐ μὰ Δία,
ἀλλὰ ἔτι πρὸς τούτοις
Ὀρχομενός, Κορώνεια, Κορσιαί,
τὸ Τιλφωσσαῖον,
τῆς χώρας τῶν Φωκέων
ὅσην ἠβούλοντο.
Τοῖς μὲν δὴ Θηβαίοις
ταῦτα γέγονεν ἐκ τῆς εἰρήνης,
ὧν
οὐδὲ ἂν εὔξαιντο
δήπου μείζονα.
Τοῖς δὲ πρέσβεσι
τοῖς τῶν Θηβαίων,
τί; οὐδέν, πλὴν
τὸ γεγενῆσθαι αἰτίοις τουτων
τῇ πατρίδι.
Τοῦτο δὲ καλόν,

et de lui-même et des Thébains.
Et ils déclaraient-unanimement
que et *leur* cité entière
et eux-mêmes, seraient à lui
ainsi (à cette condition).
Eh bien! considérez
ce qui fut et *ce* qui arriva
de là aux Thébains.
Et voyez,
d'après la vérité elle-même,
combien-important il est
de ne pas vendre
les *intérêts* de la cité.
Or premièrement la paix
eut lieu pour eux harassés
et rendus-misérables déjà
par la guerre, et vaincus.
De-plus, la destruction complétement
des Phocidiens, *leurs* ennemis,
et le renversement de tous les rem-
et des villes *de la Phocide.* parts
Est-ce que
ces *résultats sont les* seuls?
non, par Jupiter!
mais encore, outre ceux-là,
Orchomène, Coronée, Corsies,
Tilphossée,
du territoire des Phocidiens
autant-qu'ils voulurent.
Aux Thébains donc, d'une part,
ces *avantages* résultèrent de la paix,
avantages que lesquels
ils n'*en* auraient pas demande
assurément de plus grands.
Mais aux députés
des Thébains,
quel *avantage?* aucun, hormis
d'avoir été les auteurs de ces *biens*
pour la patrie.
Or cela *est* beau,

Τοῦτο δὲ καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σεμνὸν εἰς ἀρετῆς λόγον καὶ δόξης, ἣν οὗτοι χρημάτων ἀπέδοντο

Ἀντιθῶμεν δή, τί τῇ τῶν Ἀθηναίων πόλει γέγονεν ἐκ τῆς εἰρήνης, καὶ τί τοῖς πρέσβεσι τοῖς τῶν Ἀθηναίων, καὶ θεωρεῖτε, εἰ παραπλήσια τῇ πόλει, καὶ τούτοις αὐτοῖς. Τῇ πόλει μὲν τοίνυν, ἀφεστηκέναι μὲν ἁπάντων καὶ τῶν κτημάτων, καὶ τῶν συμμάχων, ὁμωμοκέναι δὲ Φιλίππῳ, κἂν ἄλλος τις ἴῃ ποτ' ἐπ' αὐτά, βουλόμενος σώζειν, ὑμᾶς κωλύσειν· καὶ τὸν μὲν ὑμῖν βουλόμενον παραδοῦναι, ἐχθρὸν ἡγήσεσθαι καὶ πολέμιον, τὸν δὲ ἀπεστερηκότα, σύμμαχον καὶ φίλον. Ταῦτα γὰρ ἔσθ', ἃ συνεῖπε μὲν Αἰσχίνης οὑτοσί, ἔγραψε δ' ὁ τούτου συνεργὸς Φιλοκράτης. Καὶ κρατοῦντος ἐμοῦ τὴν προτέραν ἡμέραν, καὶ πεπεικότος ὑμᾶς, τὸ τῶν συμμάχων δόγμα κυρῶσαι[1], καὶ καλέσαι τοὺς πρέσβεις

patrie : récompense auguste et sainte aux yeux de quiconque estime cette vertu et cette gloire dont nos traîtres ont trafiqué!

Maintenant, qu'est-ce que la paix a valu à la république d'Athènes et aux députés d'Athènes? Faisons ce parallèle, et voyons s'il y a parité. Athènes a perdu tous ses domaines, tous ses alliés; elle a juré à Philippe d'arrêter toute expédition tentée dans le but de les lui rendre, de voir un odieux ennemi dans quiconque entreprendrait cette restitution, et, dans son propre spoliateur, un allié, un ami. Telle fut, en effet, la motion appuyée par Eschine, et présentée par Philocrate, son complice. Vainqueur, le premier jour, je vous avais déterminés à confirmer la décision des alliés, en présence des ambassadeurs de Philippe, mandés par vous. Mais l'accusé, à force de ruses,

ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σεμνὸν εἰς λόγον ἀρετῆς καὶ δόξης, ἣν οὗτοι ἀπέδοντο χρημάτων.

ô hommes Athéniens, et vénérable au compte de la vertu et de l'honneur, que ceux-ci (Eschine et Philocrate) trahirent pour de l'argent.

Ἀντιθῶμεν δὴ τί γέγονεν ἐκ τῆς εἰρήνης τῇ πόλει τῶν Ἀθηναίων, καὶ τί τοῖς πρέσβεσι τοῖς τῶν Ἀθηναιων, καὶ θεωρεῖτε εἰ παραπλήσια τῇ πόλει καὶ τούτοις αὐτοῖς.

Mettons-en-parallèle donc quoi est résulté de la paix pour la république des Athéniens, et quoi *en est résulté* pour les députés des Athéniens, et voyez si *ces effets sont* semblables pour la République et pour ces *députés* mêmes.

Τῇ πόλει μὲν τοίνυν, ἀφεστηκέναι μὲν καὶ τῶν κτημάτων καὶ ἁπάντων τῶν συμμάχων, ὁμωμοκέναι δὲ Φιλίππῳ, ὑμᾶς κωλύσειν, καὶ ἂν ἄλλος τις ἴῃ ποτε ἐπὶ αὐτά, βουλόμενος σώζειν· καὶ ἡγήσεσθαι ἐχθρὸν μὲν καὶ πολέμιον τὸν βουλόμενον παραδοῦναι ὑμῖν, σύμμαχον δὲ καὶ φίλον τὸν ἀπεστερηκότα.

Or, *il en est résulté pour* la République d'être détachée et de ses possessions et de tous ses alliés, et d'avoir juré à Philippe *que* vous vous opposeriez, même si quelque autre s'avançait jamais vers ces *possessions et alliés*, voulant *vous les* conserver; et *que* vous considéreriez *comme* ennemi-de-guerre [ennemi celui qui voudrait *les* rendre à vous, et *comme* allié et ami celui qui *vous en* a privés.

Ταῦτα γὰρ ἔστιν ἃ Αἰσχίνης μὲν οὑτοσὶ συνεῖπε, Φιλοκράτης δὲ ὁ συνεργὸς τούτου ἔγραψε.

Car ces *promesses* sont *celles* que Eschine ici-présent appuya-de-ses-paroles, et *que* Philocrate, d'autre part, le collaborateur de cet *homme* rédigea-en-décret.

Καὶ ἐμοῦ κρατοῦντος τὴν προτέραν ἡμέραν, καὶ πεπεικότος ὑμᾶς κυρῶσαι τὸ δόγμα τῶν συμμάχων, καὶ καλέσαι τοὺς πρέσβεις

[portais)
Et, moi l'emportant (comme je l'emle premier jour *des délibérations*, et ayant persuadé à vous de confirmer la décision des alliés, et d'appeler les ambassadeurs

τοὺς τοῦ Φιλίππου, ἐκκρούσας οὗτος εἰς τὴν ὑστεραίαν, τὴν Φιλοκράτους γνώμην ἔπεισεν ὑμᾶς ἐλέσθαι. Ἐν ᾗ καὶ ταῦτα, καὶ πόλλ' ἄλλα ἔτι τούτων δεινότερα ἔνεστι γεγραμμένα. Τῇ μὲν δὴ πόλει ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ'.εὑρεῖν αἰσχίω ῥᾴδιον. Τοῖς δὲ πρέσβεσι τί τοῖς ταῦτα πράξασιν; τὰ μὲν ἄλλα σιωπῶ πάνθ', ὅσα ἑωράκατε ὑμεῖς, οἰκίας, ξύλα, πυρούς· ἀλλ' ἐν τῇ τῶν ἀπολωλότων χώρᾳ συμμάχων, κτήματα, καὶ γεωργίαι παμπληθεῖς, Φιλοκράτει μὲν τάλαντον ἔχουσαι πρόσοδον, τούτῳ δ' Αἰσχίνῃ τριάκοντα μνᾶς. Καίτοι, πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, τὰς τῶν ὑμετέρων συμμάχων συμφορὰς προσόδους τοῖς πρέσβεσι τοῖς ὑμετέροις γεγενῆσθαι· καὶ τὴν αὐτὴν εἰρήνην τῇ μὲν ἐκπεμψάσῃ πόλει, τῶν συμμά-

renvoya la délibération au lendemain, et fit adopter le projet de Philocrate, qui contient ces dispositions et beaucoup d'autres encore plus révoltantes. Voilà ce que la paix a rapporté à la République : imaginez, s'il est possible, une plus grande infamie ! Venons aux députés, auteurs de ces manœuvres. Je supprime tout ce que vous avez vu de vos yeux, blés, bois, maisons : ils ont acquis, dans le pays de nos alliés proscrits, de vastes possessions, des terres considérables, qui rapportent à Philocrate un talent, trente mines à Eschine. Or, n'est-il pas affreux, n'est-il pas déplorable, ô Athéniens, que vos représentants se soient enrichis du désastre de vos alliés ; que la même paix qui a tué un peuple uni à la nation qui les avait envoyés,

τοὺς τοῦ Φιλίππου,
οὗτος ἐκκρούσας
εἰς τὴν ὑστεραίαν,
ἔπεισεν ὑμᾶς
ἑλέσθαι
τὴν γνώμην Φιλοκράτους.
Ἐν ᾗ καὶ ταῦτα,
καὶ πολλὰ ἄλλα
ἔτι δεινότερα τούτων
ἔνεστι γεγραμμένα.
Τῇ μὲν δὴ πόλει
ταῦτα γέγονεν
ἐκ τῆς εἰρήνης,
ὧν
εὑρεῖν αἰσχίω
οὐδὲ ῥᾴδιον.
Τοῖς δὲ πρέσβεσι
τοῖς πράξασι ταῦτα,
τί;
σιωπῶ τὰ μὲν ἄλλα πάντα,
ὅσα ὑμεῖς ἑωράκατε,
οἰκίας, ξύλα, πυρούς·
ἀλλὰ ἐν τῇ χώρᾳ
τῶν συμμάχων ἀπολωλότων,
κτήματα, καὶ γεωργίαι
παμπληθεῖς,
ἔχουσαι πρόσοδον
Φιλοκράτει μὲν τάλαντον,
τούτῳ δὲ Αἰσχίνῃ
τριάκοντα μνᾶς.
Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι,
πῶς οὐ δεινὸν
καὶ σχέτλιον,
τὰς συμφορὰς
τῶν ὑμετέρων συμμάχων
γεγενῆσθαι προσόδους
τοῖς πρέσβεσι τοῖς ὑμετέροις·
καὶ τὴν αὐτὴν εἰρήνην
γεγενῆσθαι μὲν
τῇ πόλει ἐκπεμψάσῃ

de Philippe *à votre assemblée*,
cet *homme*, ayant fait-différer
au lendemain,
persuada à vous
d'admettre-de-préférence
la motion de Philocrate.
Dans laquelle et ces choses,
et beaucoup d'autres
encore plus criminelles que celles-là
sont inscrites.
A la République donc, d'un côté,
cela est advenu
par-suite-de la paix,
résultats que lesquels
en trouver de plus honteux
n'*est* pas facile.
D'un autre côté, aux députés
qui ont fait ces choses, [*paix?*
qu'*est-il advenu par suite de la*
je tais tous les autres *avantages*,
que vous avez vus,
maisons, bois, blés;
mais *il y a* dans la contrée
des alliés détruits,
propriétés, et terres-de-labour
très-étendues,
ayant revenu (rapportant de revenu)
à Philocrate un talent,
et à cet Eschine
trente mines.
Or, ô hommes Athéniens!
comment ne *serait-il* pas affreux
et révoltant,
que les calamités
de vos alliés
soient devenues des revenus
pour vos ambassadeurs;
et *que* la même paix
soit devenue, d'une part,
pour la cité qui *les* a envoyés

χων ὅλεθρον, τῶν δὲ κτημάτων ἀπόστασιν, ἀντὶ δὲ δόξης, αἰσχύνην γεγενῆσθαι, τοῖς δὲ πρέσβεσι τοῖς κατὰ τῆς πόλεως ταῦτα πράξασι, προσόδους, εὐπορίας, κτήματα, πλοῦτον, ἀντὶ τῶν ἐσχάτων ἀποριῶν, εἰργάσθαι; Ἀλλὰ μήν, ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τοὺς Ὀλυνθίους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

147

Οὐ τοίνυν θαυμάσαιμ' ἄν, εἰ καὶ τοιοῦτό τι τολμήσει λέγειν, ὡς οὐκ ἦν καλήν, οὐδ' οἵαν ἠξίουν ἐγώ, τὴν εἰρήνην ποιήσασθαι, κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κεχρημένων. Ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατε αὐτὸν μεμνημένοι, πότερον ἐξ ἑτέρας τινὸς ὤχετο πρεσβεύων πόλεως, ἢ ταύτης αὐτῆς. Εἰ μὲν γὰρ ἐξ ἑτέρας, ἦν κεκρατηκέναι τε τῷ πολέμῳ φήσει, καὶ χρηστοὺς ἔχειν στρατηγούς, εἰκότως χρήματ' εἴληφεν. Εἰ δ' ἐκ ταύτης αὐτῆς, τίνος ἕνεκα, ἐφ' οἷς ἡ πέμψασα πόλις τῶν ἑαυτῆς ἀπέστη, ἐπὶ τούτοις οὗτος δῶρα προσλαβὼν φαίνεται; τῶν γὰρ αὐτῶν

détaché d'elle ses domaines, et substitué la honte à tant de gloire, ait produit aux députés traîtres à cette même nation, revenus, aisance, propriétés, richesses, en échange de l'extrême misère? — Appelle les Olynthiens qui doivent déposer en faveur de cette vérité.

TÉMOINS.

Je ne serais pas étonné qu'Eschine poussât l'audace jusqu'à dire: Une paix honorable, une paix telle que la voulait Démosthène, était devenue impossible par les fautes de nos généraux. S'il parle ainsi, au nom des dieux, n'oubliez point de lui adresser cette question: Est-ce d'une autre république, est-ce d'Athènes qu'il était le mandataire? Dans le premier cas, s'il dit que cette république avait pour elle la victoire et de bons généraux, il a pu recevoir des présents. Dans le second, pourquoi le voyons-nous comblé de récompenses pour les

ὄλεθρον τῶν συμμάχων,	la ruine de ses alliés,
ἀπόστασιν δὲ τῶν κτημάτων,	la perte de ses possessions,
αἰσχύνην δὲ ἀντὶ δόξης,	la honte au-lieu-de la gloire;
τοῖς δὲ πρέσβεσι	*et que* d'autre part pour les députés
τοῖς πράξασι ταῦτα	qui ont fait cela
κατὰ τῆς πόλεως,	contre la cité,
εἰργάσθαι προσόδους,	elle ait produit revenus,
εὐπορίας, κτήματα, πλοῦτον,	abondance, propriétés, opulence,
ἀντὶ τῶν ἐσχάτων ἀποριῶν;	au-lieu-de la dernière misère?
Ἀλλὰ μήν, κάλει μοι	D'ailleurs, appelle-moi
τοὺς Ὀλυνθίους μάρτυρας	les Olynthiens, *qui sont* témoins
ὅτι λέγω	que je dis
ταῦτα ἀληθῆ.	ces choses vraies (avec vérité).

ΜΑΡΤΥΡΕΣ.	TÉMOINS.
Οὐ τοίνυν θαυμάσαιμι ἄν,	Or je ne m'étonnerais pas,
εἰ τολμήσει λέγειν	s'il osera dire
καὶ τοιοῦτό τι,	même quelque chose de tel,
ὡς οὐκ ἦν	*savoir*, qu'il n'était pas *possible*
ποιήσασθαι τὴν εἰρήνην καλήν,	de faire une paix belle,
οὐδὲ οἵαν ἐγὼ ἠξίουν,	ni *telle* que je demandais,
τῶν στρατηγῶν	les généraux
κεχρημένων κακῶς	ayant usé mal
τῷ πολέμῳ.	de la guerre (s'y étant mal conduits).
Ἂν δὴ λέγῃ ταῦτα,	Si donc il dit cela,
ἐρωτήσατε αὐτὸν μεμνημένοι,	demandez-lui, vous *en* souvenant,
πρὸς θεῶν, πότερον ᾤχετο	par les dieux! s'il s'en allait
πρεσβεύων	étant-ambassadeur
ἐξ ἑτέρας τινὸς πόλεως,	de quelque autre cité,
ἢ ταύτης αὐτῆς.	ou de celle-ci même.
Εἰ μὲν γὰρ ἐξ ἑτέρας,	Car, si *c'est* d'une autre *cité*,
ἣν φήσει	laquelle il dira
κεκρατηκέναι τε τῷ πολέμῳ	et avoir vaincu à la guerre
καὶ ἔχειν στρατηγοὺς χρηστούς,	et posséder des généraux excellents,
εἰκότως εἴληφε χρήματα.	probablement il a reçu des présents.
Εἰ δὲ ἐκ ταύτης αὐτῆς,	Mais si *c'est* de cette *cité* même,
τίνος ἕνεκα	pourquoi
οὗτος φαίνεται	cet *homme* paraît-il
προσλαβὼν δῶρα	ayant-reçu des dons [quelles
ἐπὶ τούτοις ἐπὶ οἷς	après ces *négociations* après les-

ἔδει τήν τε πέμψασαν πόλιν τυγχάνειν, καὶ τοὺς ἐκ ταύτης πρεσβεις, εἴπερ τι τῶν δικαίων ἐγίγνετο. Νῦν δέ, ἡ μὲν πόλις τῶν αὐτῆς ἀφέστηκεν, οὗτος δὲ χρήματ' εἴληφεν.

Ἔτι τοίνυν κἀκεῖνο σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι. Πότερ' οἴεσθε, πλέον Φωκέας Θηβαίων, ἢ Φίλιππον ὑμῶν, κρατεῖν τῷ πολέμῳ; ἐγὼ μὲν γὰρ εὖ οἶδ', ὅτι Φωκεῖς Θηβαίων. Εἶχον μὲν γὰρ Ὀρχομενόν, καὶ Κορώνειαν, καὶ τὸ Τιλφωσσαῖον, καὶ τοὺς ἐν Νέωσιν[1] ἀπειλήφεσαν αὐτῶν, καὶ ἑβδομήκοντα καὶ διακοσίους ἀπεκτόνεσαν ἐπὶ τῷ Ἡδυλείῳ, καὶ τρόπαιον εἱστήκει, καὶ ἱπποκράτουν, καὶ κακῶν Ἰλιὰς περιειστήκει Θηβαίους[2]. Ὑμῖν δέ, τοιοῦτο μὲν οὐδὲν οὔτ' ἦν, μήτε γένοιτο τοῦ λοιποῦ. Τοῦτο δ' ἦν τὸ δεινότατον τοῦ πρὸς Φίλιππον πολέμου· οὐκ ἠδύνασθε κακῶς, ἡνίκ' ἠβούλεσθε, ποιεῖν ἐκεῖνον· τοῦ δὲ μὴ πάσχειν ἔτι αὐτοὶ

mêmes négociations qui ont dépouillé la ville qui l'avait envoyé? Avec un peu de justice, même sort aurait uni et république et représentants : loin de là, Athènes s'est ruinée, Eschine s'est enrichi!

Pesez encore cette considération, ô Athéniens. La Phocide avait-elle sur Thèbes plus d'avantage à la guerre que Philippe sur vous? Pour moi, je prononce en faveur de la Phocide. Elle possédait Orchomène, Coronée, Tilphossée, elle avait dégagé ses troupes assiégées dans Néones, tué à l'ennemi deux cent soixante-dix hommes sur le mont Hédylée, où elle érigea un trophée; elle avait vaincu dans un combat de cavalerie; Thèbes enfin était accablée d'un déluge de maux. Tel n'était pas votre sort, tel ne soit-il jamais! Ce qu'avait de plus fâcheux votre guerre contre Philippe, c'était de ne pouvoir

πόλις ἡ πέμψασα ἀπέστη
τῶν ἑαυτῆς;
ἔδει γὰρ
πόλιν τε τὴν πέμψασαν
καὶ τοὺς πρέσβεις ἐκ ταύτης
τυγχάνειν τῶν αὐτῶν,
εἴπερ τι τῶν δικαίων
ἐγίγνετο.
Νῦν δέ,
ἡ μὲν πόλις ἀφέστηκε
τῶν αὑτῆς,
οὗτος δὲ εἴληφε χρήματα.
Σκέψασθε τοίνυν ἔτι
καὶ ἐκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι.
Πότερα οἴεσθε
Φωκέας
κρατεῖν τῷ πολέμῳ
Θηβαίων
πλέον ἢ Φίλιππον ὑμῶν;
ἐγὼ μὲν γὰρ οἶδα εὖ
ὅτι Φωκεῖς
Θηβαίων.
Εἶχον μὲν γὰρ Ὀρχομενόν,
καὶ Κορώνειαν,
καὶ τὸ Τιλφωσσαῖον,
καὶ ἀπειλήφεσαν τοὺς αὑτῶν
ἐν Νέωσιν,
καὶ ἀπεκτόνεσαν
ἑβδομήκοντα καὶ διακοσίους
ἐπὶ τῷ Ἡδυλείῳ,
καὶ τρόπαιον εἱστήκει,
καὶ ἱπποκράτουν,
καὶ Ἰλιὰς κακῶν
περιειστήκει Θηβαίους.
Ὑμῖν δὲ οὐδὲν μὲν τοιοῦτο
οὔτε ἦν,
μήτε γένοιτο τοῦ λοιποῦ.
Τοῦτο δὲ ἦν τὸ δεινότατον
τοῦ πολέμου πρὸς Φίλιππον·
οὐκ ἠδύνασθε ποιεῖν κακῶς

la cité qui-*l'*envoya fut privée
de ce *qui était* à elle?
car il fallait
et la cité qui envoya
et les députés d'elle
rencontrer les mêmes *chances*,
si-toutefois une des choses justes
s'exécutait.
Maintenant, au-contraire,
la cité a été détachée
des *possessions* d'elle-même,
et celui-ci a reçu de l'argent.
Or examinez encore
même ceci, ô hommes Athéniens.
Est-ce que vous croyez
que les Phocidiens
l'emportaient à la guerre
sur les Thébains
plus que Philippe sur vous?
car, pour moi, je sais bien
que les Phocidiens
l'emportaient plus sur les Thébains.
Ils possédaient en effet Orchomène,
et Coronée,
et Tilphossée,
et ils avaient repris ceux des leurs
qui étaient assiégés dans Néones,
et ils tuèrent
soixante-dix et deux-cents *ennemis*
sur le *mont* Hédylée, [*eux*,
et un trophée avait été dressé *par*
et ils vainquaient-par-leur-cavalerie,
et une Iliade de malheurs
avait entouré les Thébains.
A vous rien de pareil
n'était *arrivé*,
et puisse-t-il ne pas arriver à l'avenir!
Mais ceci était *le point* le plus grave
de la guerre contre Philippe :
vous ne pouviez point faire du mal

πᾶσαν ἄδειαν ἤγετε. Τί ποτ' οὖν ἐκ τῆς αὐτῆς εἰρήνης, τοῖς μὲν Θηβαίοις, τοῖς τοσοῦτο κρατουμένοις τῷ πολέμῳ, καὶ τὰ ἑαυτῶν κομίσασθαι, καὶ τὰ τῶν ἐχθρῶν προσλαβεῖν γέγονε· τοῖς δὲ Ἀθηναίοις ὑμῖν, καὶ ἃ τῷ πολέμῳ διεσώζετο, ταῦτ' ἐπὶ τῆς εἰρήνης ἀπολωλεκέναι; Ὅτι τὰ μὲν ἐκείνων οὐκ ἀπέδοντο οἱ πρέσβεις, τὰ δ' ὑμέτερα οὗτοι πεπράκασιν. Ἀλλὰ νὴ Δία τοὺς συμμάχους ἀπειρηκέναι φήσει τῷ πολέμῳ[1]· ὅτι γὰρ ταῦθ' οὕτω πέπρακται, καὶ ἐκ τῶν ἐπιλοίπων ἔτι μᾶλλον εἴσεσθε.

Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη τέλος εἶχεν[2] αὕτη ἡ τοῦ Φιλοκράτους, ἣν συνεῖπεν οὗτος· οἱ δὲ πρέσβεις ἀπήρχεσαν οἱ τοῦ Φιλίππου, λαβόντες τοὺς ὅρκους (καὶ μέχρι τούτου γε οὐδὲν ἀνήκεστον ἦν τῶν πεπραγμένων, ἀλλ' αἰσχρὰ μὲν ἡ εἰρήνη καὶ ἀναξία τῆς πόλεως, ἀντὶ δὲ τούτων δὴ τὰ θαυμάσι' ἀγαθὰ ὑμῖν ἤμελλεν

l'attaquer lorsque vous le vouliez; du reste, vous étiez entièrement à l'abri de ses coups. Pourquoi donc la paix a-t-elle rendu d'anciennes possessions et partagé, par surcroît, celles de l'ennemi, aux Thébains, foulés par la guerre? Pourquoi cette même paix vous a-t-elle enlevé, ô Athéniens, jusqu'aux domaines que la guerre vous avait laissés? C'est que, par ses députés, Thèbes a été fidèlement servie, Athènes a été vendue. Cependant, par Jupiter! Eschine dira que la guerre avait écrasé vos alliés. Mais, par ce qui suit, vous connaîtrez encore mieux la vérité des faits.

Lorsque cette paix de Philocrate, appuyée par l'accusé, eut été conclue, lorsque les envoyés de Philippe furent repartis avec nos serments, rien n'était encore perdu sans ressource : le traité, il est vrai, n'était ni honorable, ni digne de la République; mais nous devions recevoir de merveilleux dédommagements. Je vous deman-

ἐκεῖνον ἡνίκα ἠβούλεσθε·
αὐτοὶ δὲ
ἤγετε πᾶσαν ἄδειαν
τοῦ μὴ πάσχειν ἔτι.
Τί ποτε οὖν
ἐκ τῆς αὐτῆς εἰρήνης
γέγονε τοῖς μὲν Θηβαίοις,
τοῖς κρατουμένοις τοσοῦτο
τῷ πολέμῳ,
καὶ κομίσασθαι τὰ ἑαυτῶν,
καὶ προσλαβεῖν
τὰ τῶν ἐχθρῶν·
ὑμῖν δὲ τοῖς Ἀθηναίοις,
καὶ ταῦτα ἃ διεσώζετο
τῷ πολέμῳ
ἀπολωλεκέναι ἐπὶ τῆς εἰρήνης;
Ὅτι οἱ πρέσβεις
οὐκ ἀπέδοντο
τὰ μὲν ἐκείνων,
οὗτοι δὲ πεπράκασι τὰ ὑμέτερα.
Ἀλλὰ φήσει νὴ Δία
τοὺς συμμάχους
ἀπειρηκέναι τῷ πολέμῳ·
εἴσεσθε γὰρ ἔτι μᾶλλον
καὶ ἐκ τῶν ἐπιλοίπων
ὅτι ταῦτα πέπρακται οὕτως.
Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη
αὕτη ἡ τοῦ Φιλοκράτους,
ἣ οὗτος συνεῖπεν,
εἶχε τέλος·
οἱ δὲ πρέσβεις οἱ τοῦ Φιλίππου
ἀπήρκεσαν
λαβόντες τοὺς ὅρκους
(καὶ μέχρι τούτου γε
οὐδὲν τῶν πεπραγμένων
ἦν ἀνήκεστον, ἀλλὰ ἡ εἰρήνη
αἰσχρὰ μὲν
καὶ ἀναξία τῆς πόλεως,
τὰ δὲ δὴ ἀγαθὰ
θαυμάσια

à lui quand vous vouliez ;
mais *aussi vous*-mêmes
meniez (jouissiez de) toute sécurité
de ne plus souffrir *ses attaques*.
Pourquoi enfin donc
de la même paix
est-il résulté pour les Thébains,
vaincus à-ce-point
à la guerre, [mêmes,
et de recouvrer les possessions d'eux-
et de recevoir-de-plus
les *possessions* de leurs ennemis ;
et *que* pour vous, *qui êtes* Athéniens,
même ce qui *vous* était conservé
par la guerre
ait été perdu après la paix ?
C'est parce que les ambassadeurs
ne trahissaient pas
les *intérêts* de ceux-là, [vôtres.
et que ces *hommes* ont vendu les
Mais *Eschine* affirmera, par Jupiter,
que les alliés
étaient accablés par la guerre :
vous saurez encore mieux
même par les *faits* qui-restent
que cela s'est accompli ainsi.
Lorsque, en effet, la paix,
celle de Philocrate
pour laquelle cet *homme* parla,
eut fin (fut conclue) ;
et *que* les députés de Philippe
s'en furent allés
ayant reçu *nos* serments
(et jusque-là du moins
aucun des actes-accomplis
n'était irréparable, mais la paix
d'une part, *était* honteuse
et indigne de la République,
et, d'autre part, des avantages
étonnants

ἔσεσθαι)· ἠξίουν ὑμᾶς ἐγώ, καὶ τούτοις ἔλεγον πλεῖν τὴν τάχιστην ἐφ' Ἑλλησπόντου, καὶ μὴ προέσθαι, μηδ' ἐᾶσαι κατασχεῖν Φίλιππον μηδὲν ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἐκεῖ χωρίων· ἥδειν γὰρ ἀκριβῶς, ὅτι πάνθ', ὅσα ἂν ἐκ πολέμου γιγνομένης εἰρήνης προεθῇ, ταῦτα τοῖς ἀμελήσασιν ἀπόλλυται. Οὐδεὶς γὰρ πώποτε ὑπὲρ τῶν ὅλων πεισθεὶς εἰρήνην ἄγειν, ὑπὲρ τῶν ἐγκαταλειφθέντων ἐξαρχῆς ἠθέλησε πολεμεῖν, ἀλλὰ ταῦθ' οἱ προλαβόντες ἔχουσι. Χωρὶς δὲ τούτων, δυοῖν χρησίμοιν οὐ διαμαρτήσεσθαι τὴν πόλιν ἡγούμην, πλευσάντων ἡμῶν[1]. Ἡ γὰρ παρόντων, καὶ κατὰ τὸ ψήφισμ' αὐτὸν ἐξορκωσάντων, ἃ μὲν εἴληφει τῆς πόλεως, ἀποδώσειν, τῶν δὲ λοιπῶν ἀφέξεσθαι, ἢ μὴ ποιοῦντος ἐκείνου ταῦτα, ἀπαγγελεῖν ἡμᾶς εὐθέως δεῦρο. Ὥστ' ἐν ἐκείνοις τοῖς

dais un ordre de départ, je pressais mes collègues de s'embarquer au plus tôt pour l'Hellespont, de ne rien négliger, de ne pas laisser Philippe, dans l'intervalle, s'emparer de quelque place de ces contrées, persuadé que tout ce qui est pris durant les négociations de la paix est perdu pour le parti qui s'endort. Aucun peuple, en effet, déterminé à la paix pour un bien général, n'a jamais voulu recommencer la guerre pour réparer quelques négligences; et le conquérant garde ses dernières usurpations. D'ailleurs, notre voyage par mer assurait, dans ma pensée, deux avantages à la République. Présents sur les lieux et faisant prêter serment à Philippe, d'après le décret, ou nous l'aurions obligé de rendre ce qu'il avait pris à notre patrie, et de ne pas toucher au reste; ou, s'il ne l'eût point fait, nous vous l'aurions mandé sur-le-champ. Par là, instruits de son

ἤμελλεν ἔσεσθαι ὑμῖν)·
devaient exister pour vous);

ἐγὼ ἠξίουν ὑμᾶς
moi, je demandais à vous

καὶ ἔλεγον τούτοις
et je disais à eux (aux députés)

πλεῖν
de s'embarquer

τὴν ταχίστην
le plus promptement

ἐπὶ Ἑλλησπόντου,
pour l'Hellespont,

καὶ μὴ προέσθαι, μηδὲ ἐᾶσαι
et de ne pas perdre, de ne pas lais-[ser

Φίλιππον κατασχεῖν
Philippe s'emparer

ἐν χρόνῳ τῷ μεταξὺ
dans le temps entre (dans l'intervalle)

μηδὲν χωρίων
d'aucune des places

τῶν ἐκεῖ·
situées dans-ce-pays :

ἤδειν γὰρ ἀκριβῶς
*qu'*en effet je savais parfaitement

ὅτι πάντα ταῦτα
que toutes ces *places*

ἀπόλλυται τοῖς ἀμελήσασιν,
sont perdues pour les négligents,

ὅσα ἂν προεθῇ
lesquelles ont pu être perdues

εἰρήνης γιγνομένης
la paix se concluant (pendant qu'elle

ἐκ πολέμου.
après la guerre. [se concluait)

Οὐδεὶς γὰρ πώποτε
Car jamais personne,

πεισθεὶς ἄγειν εἰρήνην
engagé à faire la paix

ὑπὲρ τῶν ὅλων,
pour des *intérêts* généraux,

ἠθέλησε πολεμεῖν ἐξ ἀρχῆς
ne voulut guerroyer de nouveau

ὑπὲρ τῶν ἐγκαταλειφθέντων,
au-sujet-de *places* négligées,

ἀλλὰ οἱ προλαβόντες ταῦτα
mais ceux qui ont pris-d'avance elles

ἔχουσι. Χωρὶς δὲ τούτων,
les ont (les gardent). Outre cela,

ἡγούμην τὴν πόλιν
je pensais *que* la République

οὐ διαμαρτήσεσθαι
ne laisserait-point-échapper

δυοῖν χρησίμοιν,
deux avantages, [embarquions).

ἡμῶν πλευσάντων.
nous nous embarquant (si nous nous

Ἦ γὰρ
Je pensais en effet *que* ou,

παρόντων,
nous étant présents,

καὶ ἐξορκωσάντων
et ayant fait-prêter-serment

αὐτὸν
à lui (à Philippe)

κατὰ τὸ ψήφισμα,
conformément au décret,

ἀποδώσειν μὲν
Philippe rendrait, d'une part,

ἃ εἵλήφει
ce qu'il avait pris

τῆς πόλεως,
à la République, [reste;

ἀφέξεσθαι δὲ τῶν λοιπῶν,
et, d'autre part, s'abstiendrait du

ἢ, ἐκείνου μὴ ποιοῦντος ταῦτα,
ou bien, lui ne faisant pas cela,

ἡμᾶς ἀπαγγελεῖν εὐθέως δεῦρο.
nous *en* référerions aussitôt ici.

Ὥστε ὑμᾶς ἰδόντας
Tellement-que vous, connaissant

πόῤῥω καὶ ἐλάττοσι τὴν πλεονεξίαν, καὶ τὴν ἀπιστίαν ἰδόντας ὑμᾶς, περὶ τῶνδε τῶν ἐγγὺς καὶ μειζόνων, λέγω δὴ Φωκέων καὶ Πυλῶν, οὐ προήσεσθαι. Μὴ προλαβόντος δ' ἐκείνου ταῦτα, μηδ' ὑμῶν ἐξαπατηθέντων, ἅπαντ' ἐν ἀσφαλεῖ τὰ πράγμαθ' ὑμῖν ἔσεσθαι, καὶ παρ' ἑκόντος ὑπάρξειν αὐτοῦ τὰ δίκαια. Καὶ ταῦτ' εἰκότως ὑπελάμβανον οὕτως ἔξειν. Εἰ γὰρ ἦσαν, ὡς ἦσαν τότε, οἱ Φωκεῖς σῷοι, καὶ Πύλας εἶχον, ἐκεῖνος μὲν οὐδὲν ἂν εἶχεν ὑμῖν ἀνατείνασθαι φοβερόν, δι' ὃ τῶν δικαίων ἄν τι παρείδετε. Οὔτε γὰρ κατὰ γῆν παρελθών, οὔτε ναυσὶ κρατήσας, εἰς τὴν Ἀττικὴν ἦξειν ἤμελλεν, ὑμεῖς δ' ἐκείνῳ παραχρῆμα, εἰ μὴ τὰ δίκαια ποιοίη, κλείσειν τὰ ἐμπόρια, καὶ χρημάτων τ' ἐν σπάνει, καὶ τῶν ἄλλων ἐν πολιορκίᾳ πάλιν αὐτὸν καταστήσειν.

avidité et de sa mauvaise foi pour des objets éloignés et moins essentiels, vous ne lui auriez pas abandonné deux postes voisins et importants, la Phocide et les Thermopyles. Par là encore, Philippe n'ayant pas fait cet envahissement, et Athènes n'étant pas tombée dans le piége, vous auriez été à l'abri de toute crainte, et lui-même vous aurait donné satisfaction. Et mes conjectures étaient fondées. Car, si la Phocide était, comme alors, debout et maîtresse des Thermopyles, ce prince ne pourrait lever sur vous une main menaçante, pour vous forcer à céder vos droits. Sans passage par terre, sans supériorité maritime, il n'aurait pu pénétrer dans l'Attique; et, s'il eût refusé de vous faire justice, vous pouviez à l'instant lui fermer tous les ports, l'appauvrir, le bloquer, lui couper toutes ses res-

τὴν πλεονεξίαν
καὶ τὴν ἀπιστίαν
ἐν ἐκείνοις τοῖς πόῤῥω
καὶ ἐλάττοσιν,
οὐ προήσεσθαι
περὶ τῶνδε τῶν ἐγγὺς
καὶ μειζόνων,
λέγω δὴ
Φωκέων καὶ Πυλῶν.
Ἐκείνου δὲ
μὴ προλαβόντος ταῦτα,
μηδὲ ὑμῶν ἐξαπατηθέντων,
ἅπαντα τὰ πράγματα ἔσεσθαι
ἐν ἀσφαλεῖ ὑμῖν,
καὶ τὰ δίκαια
ὑπάρξειν
παρὰ αὐτοῦ ἑκόντος.
Καὶ ὑπελάμβανον
εἰκότως
ταῦτα ἕξειν οὕτως.
Εἰ γὰρ οἱ Φωκεῖς
ἦσαν σῷοι,
ὡς ἦσαν τότε,
καὶ εἶχον Πύλας,
ἐκεῖνος μὲν εἶχεν ἂν ἀνατείνασθαι
ὑμῖν οὐδὲν φοβερόν,
διὰ ὃ
ἂν παρεῖδετέ
τι τῶν δικαίων.
Οὔτε γὰρ
παρελθὼν κατὰ γῆν,
οὔτε κρατήσας ναυσίν,
ἤμελλεν ἥξειν εἰς τὴν Ἀττικήν,
ὑμεῖς δέ,
εἰ μὴ ποιοίη τὰ δίκαια,
κλείσειν ἐκείνῳ παραχρῆμα
τὰ ἐμπόρια,
καὶ καταστήσειν αὐτὸν πάλιν
ἔν τε σπάνει χρημάτων,
καὶ ἐν πολιορκίᾳ τῶν ἄλλων.

l'avidité
et la perfidie *de Philippe*
dans ces *objets* loin (éloignés)
et moindres,
vous ne *lui* abandonneriez *rien*
concernant ces *objets* proches
et plus importants,
je désigne ainsi
les Phocidiens et les Thermopyles.
Or, lui
n'ayant pas conquis-rapidement cela,
et vous n'ayant pas été surpris,
toutes les affaires seraient
en sécurité pour vous,
et les droits
seraient obtenus (respectés)
de (par) lui le-voulant-bien.
Et je conjecturais
avec-vraisemblance
que ces choses seraient ainsi.
Car, si les Phocidiens
étaient *encore* sains-et-saufs,
comme ils étaient alors,
et *s'*ils possédaient les Thermopyles,
ce *prince ne* pourrait élever
contre vous rien de formidable,
par-l'effet-de quoi
vous négligeriez
quelqu'une des choses justes.
En effet,
ni passant par terre
ni dominant par *ses* vaisseaux,
il ne devait entrer en Attique,
et vous, au contraire,
s'il n'eût point fait les choses justes,
vous deviez fermer à lui sur-le-champ
les ports,
et mettre lui à-son-tour
et en disette de denrées,
et en blocus pour le reste.

Ὥςτ' ἐκεῖνος δ δουλεύσων ἤμελλεν ἔσεσθαι τοῖς ἀπὸ τῆς εἰρήνης λυσιτελοῦσιν, οὐχ ὑμεῖς.

Καὶ ταῦθ' ὅτι οὐκ ἐπὶ τοῖς συμβεβηκόσι νυνὶ πλάττομαι, καὶ προσποιοῦμαι, ἀλλὰ τότ' εὐθὺς ἐγνώκειν, καὶ προεωρώμην ὑπὲρ ὑμῶν, καὶ τούτοις ἔλεγον, ἐκεῖθεν εἴσεσθε. Ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκ ἔτ' ἦν ὑπόλοιπος οὐδεμία, διὰ τὸ προκατακεχρῆσθαι, οὗτοι δ' οὐκ ἀπήεσαν, ἀλλ' αὐτοῦ διέτριβον, γράφω ψήφισμα βουλεύων, τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν, ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην· τὸν δὲ στρατηγὸν Πρόξενον κομίζειν αὐτοὺς ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνηται, γράψας, ὥςπερ νῦν λέγω, τοῖς ῥήμασιν, ἄντικρυς οὕτω. Καί μοι λέγε τοῦτο τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ.

Ἐνθένδε μὲν τοίνυν αὐτοὺς ἐξήγαγον οὕτως ἄκοντας, ὡς κα-

sources. Ainsi, c'est Philippe, ce n'est pas Athènes, qui eût fléchi pour posséder les avantages de la paix.

Et, ces réflexions, je ne viens pas aujourd'hui les régler sur l'événement, ni m'en prévaloir après coup; dès lors je les faisais, je lisais pour vous dans l'avenir, j'avertissais mes collègues : en voici la preuve. Le peuple n'avait plus à s'assembler, puisque tout était décidé; les députés n'étaient point partis, et perdaient ici leur temps. Alors, comme membre du Conseil, que le peuple avait chargé de régler le départ, je propose, par un arrêté, que l'ambassade parte au plus tôt, et se rende, sous la conduite du général Proxénos, dans les lieux où il apprendra la présence de Philippe. Tels étaient les termes mêmes de cet acte, qu'on va lire.

DÉCRET.

J'entraînai donc mes collègues malgré eux, comme le prouvera

Ὥςτε ἐκεῖνος, οὐχ ὑμεῖς,
ἤμελλεν ἔσεσθαι ὁ δουλεύσων
τοῖς λυσιτελοῦσιν
ἀπὸ τῆς εἰρήνης.
Καὶ εἴσεσθε
ἐκεῖθεν
ὅτι οὐ πλάττομαι νυνὶ
ταῦτα
ἐπὶ τοῖς συμβεβηκόσι,
καὶ προσποιοῦμαι,
ἀλλὰ ἐγνώκειν
τότε εὐθύς,
καὶ προεωρώμην ὑπὲρ ὑμῶν,
καὶ ἔλεγον τούτοις.
Ἐπειδὴ γὰρ
οὐδεμία μὲν ἐκκλησία
οὐκ ἦν ἔτι ὑπόλοιπος,
διὰ τὸ
προκατακεχρῆσθαι,
οὗτοι δὲ οὐκ ἀπήεσαν,
ἀλλὰ διέτριβον αὐτοῦ,
βουλεύων
γράφω ψήφισμα,
τοῦ δήμου ποιήσαντος
τὴν βουλὴν κυρίαν,
τοὺς πρέσβεις ἀπιέναι
τὴν ταχίστην·
Πρόξενον δὲ τὸν στρατηγὸν
κομίζειν αὐτοὺς
ἐπὶ τοὺς τόπους ἐν οἷς
ἂν πυνθάνηται
Φίλιππον ὄντα,
γράψας οὕτως ἄντικρυς
τοῖς ῥήμασιν,
ὥςπερ λέγω νῦν.
Καὶ λαβὼν λέγε μοι
τοῦτο τὸ ψήφισμα.

Si-bien-que ce *prince*, non vous,
devait être recherchant-obséquieu-
les avantages [sement
résultant de la paix.
Et vous saurez
par-ceci (par ce qui va suivre)
que je ne forge pas maintenant
ces *considérations*
d'après les événements,
et *que* je *ne* me *les* arroge point,
mais *que* je *les* avais reconnues
dès-lors aussitôt,
et *que* je prévoyais pour vous,
et *que* je *les* disais à ces *hommes*.
Quand, en effet,
aucune assemblée-populaire
n'était plus restante (ne restait plus
à cause du [à tenir),
les avoir épuisées-d'avance,
et *comme* ceux-ci ne partaient pas,
mais consumaient-le-temps ici,
étant-membre-du-Conseil,
je rédige un décret,
le peuple ayant fait
le Conseil arbitre-absolu *du départ*,
portant que les députés partiront
au plus vite;
que Proxénos le général
transportera eux
vers les lieux dans lesquels
il apprendrait [lippe),
Philippe étant (que se trouve Phi-
ayant écrit *cet ordre* aussi explicite-
avec les termes [ment
comme (que) je dis maintenant.
Et *l'*ayant pris, lis-moi
ce décret.

ΨΗΦΙΣΜΑ.

DÉCRET.

Ἐξήγαγον μὲν τοίνυν ἐνθένδε

Je fis-partir donc d'ici

θαρῶς, οἷς μετὰ ταῦτ' ἐποίουν, εἴσεσθε. Ἐπειδὴ δὲ ἀφικόμεθα εἰς Ὠρεόν, καὶ συνεμίξαμεν τῷ Προξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν, καὶ τὰ προστεταγμένα πράττειν, ἐπορεύοντο κύκλῳ, καὶ πρὶν εἰς Μακεδονίαν ἐλθεῖν, τρεῖς καὶ εἴκοσιν ἡμέρας ἀνηλώσαμεν· τὰς δὲ ἄλλας ἁπάσας καθήμεθα ἐν Πέλλῃ, πρὶν Φίλιππον ἐλθεῖν. Σὺν αἷς ἐπορεύθημεν ὁμοῦ πεντήκονθ' ὅλας. Ἐν δὲ τούτῳ, Δορίσκον, Θρᾴκης τἀπὶ Τειχῶν, Ἱερὸν Ὄρος[1], πάντα τὰ πράγματα ἐν εἰρήνῃ καὶ σπονδαῖς ἦρει, καὶ διῳκεῖτο Φίλιππος, πολλὰ λέγοντος ἐμοῦ, καὶ θρυλοῦντος ἀεί· τὸ μὲν πρῶτον, ὡς ἂν εἰς κοινὸν γνώμην ἀποφαινομένου· μετὰ ταῦτα δέ, ὡς ἀγνοοῦντας διδάσκοντος· τελευτῶντος δέ, ὡς ἂν πρὸς πεπρακότας ἑαυτούς, καὶ ἀνοσιωτάτους ἀνθρώπους, οὐδὲν ὑποστελλο-

nettement leur conduite postérieure. Arrivés à Oréos, et réunis au général, au lieu de s'embarquer, conformément à leurs instructions, ils parcoururent un long circuit; et, avant d'arriver en Macédoine, nous avions déjà dépensé vingt-trois jours; nous restâmes longtemps à Pella, inactifs et attendant Philippe; de sorte que cinquante journées forment le total de ce voyage. Que se passa-t-il alors? Doriskos, les Forts de Thrace, Mont-Sacré, tout se rangeait sous la loi du monarque, pendant les ratifications de la paix; et moi, je ne cessais de murmurer, de protester, d'abord par l'exposé de mon opinion devant mes collègues, ensuite par les leçons qui éclairent l'ignorance, enfin par les reproches qu'on lance aux scélérats, aux perfides qui se sont

αὐτοὺς οὕτως ἄκοντας,
ὡς εἴσεσθε καθαρῶς
οἷς ἐποίουν μετὰ ταῦτα.
Ἐπειδὴ δὲ ἀφικόμεθα
εἰς Ὠρεόν,
καὶ συνεμίξαμεν τῷ Προξένῳ,
οὗτοι
ἀμελήσαντες τοῦ πλεῖν
καὶ πράττειν τὰ προστεταγμένα,
ἐπορεύοντο κύκλῳ,
καὶ πρὶν ἐλθεῖν
εἰς Μακεδονίαν,
ἀνηλώσαμεν
τρεῖς καὶ εἴκοσιν ἡμέρας·
καθήμεθα δὲ ἐν Πέλλῃ
ἁπάσας τὰς ἄλλας,
πρὶν Φίλιππον ἐλθεῖν.
Σὺν αἷς
ἐπορεύθημεν
ὁμοῦ πεντήκοντα ὅλας.
Ἐν δὲ τούτῳ
Φίλιππος ἥρει
καὶ διῳκεῖτο ἐν εἰρήνῃ
καὶ σπονδαῖς,
Δορίσκον,
τὰ ἐπὶ Τειχῶν Θράκης,
Ἱερὸν Ὄρος,
πάντα τὰ πράγματα,
ἐμοῦ λέγοντος πολλὰ
καὶ θρυλοῦντος
ἀεί·
τὸ μὲν πρῶτον,
ὡς ἂν ἀποφαινομένου
γνώμην εἰς κοινόν·
μετὰ ταῦτα δέ, ὡς διδάσκοντος
ἀγνοοῦντας·
τελευτῶντος δέ,
ὡς ἂν ὑποστελλομένου οὐδὲν
πρὸς ἀνθρώπους
πεπρακότας ἑαυτούς,

ces *députés* aussi malgré-eux,
comme vous saurez clairement
par *les choses* qu'ils firent après cela.
Lorsque nous fûmes arrivés
à Oréos,
et que nous eûmes rejoint Proxénos,
ces *députés*,
négligeant de faire-le-voyage-par-mer
et d'exécuter les choses ordonnées,
s'en allèrent par un circuit,
et avant d'être arrivés
en Macédoine,
nous dépensâmes
trois et vingt jours :
nous restâmes-inactifs ensuite à Pella
tous les autres *jours*,
avant *que* Philippe *y* revînt.
Avec lesquels *vingt-trois jours*
nous voyageâmes
totalement cinquante *jours* entiers.
Or, pendant ce *temps*,
Philippe prenait
et réglait à-son-gré pendant la paix
et les libations *pour la conclure*,
Doriskos,
les Forts de Thrace,
Mont-Sacré,
toutes choses,
moi parlant beaucoup (malgré mes
et murmurant [protestations)
toujours ;
d'abord,
comme déclarant
mon opinion en commun
ensuite, comme éclairant
des collègues ignorants ;
et finissant (enfin),
comme ne ménageant rien
auprès d'hommes
ayant vendu eux-mêmes,

μένου. Ὁ δὲ τούτοις ἀντιλέγων φανερῶς, καὶ ἅπασιν ἐναντιούμενος, οἷς ἔλεγον μὲν ἐγώ, ἐψήφιστο δὲ ὑφ' ὑμῶν, οὗτος ἦν. Εἰ δὲ καὶ πᾶσιν ἤρεσκε ταῦτα τοῖς ἄλλοις πρέσβεσιν, αὐτίκα εἴσεσθε. Ἐγὼ μὲν γὰρ οὐδέν πω λέγω περὶ οὐδενός, οὐδ' αἰτιῶμαι, οὐδ' ἀναγκασθέντ' αὐτῶν οὐδένα δεῖ δοκεῖν χρηστὸν εἶναι τήμερον, ἀλλὰ δι' αὑτόν, καὶ τὸ μὴ κεκοινωνηκέναι τῶν ἀδικημάτων. Ὅτι μὲν γὰρ αἰσχρὰ καὶ δεινά, καὶ οὐ προῖκα τὰ πεπραγμένα, πάντες ὑμεῖς ἑωράκατε. Οἵτινες δ' οἱ τούτων μετεσχηκότες, αὐτὰ δηλώσει.

Ἀλλὰ νὴ Δία, ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον παρὰ τῶν συμμάχων; ἢ τἄλλ', ἃ προσῆκεν, ἐποίησαν; πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ τρεῖς μῆνας ὅλους ἀποδημήσαντες, καὶ χιλίας δραχμὰς λαβόντες ἐφόδιον παρ' ὑμῶν, ὅσα παρ' οὐδεμιᾶς ἄλλης πό-

vendus. Celui qui me contredisait avec éclat, celui qui combattait tous mes avis, tous vos ordres, c'était Eschine. Les autres députés pensaient-ils tous comme lui ? vous le saurez bientôt. Je ne parle d'aucun d'eux, je ne les accuse pas encore. N'en forçons pas un seul à prouver aujourd'hui sa probité ; qu'ils le fassent spontanément, et poussés par leur seule innocence. Ainsi, honte, crime, vénalité, voilà ce que vous avez tous vu jusqu'ici. Quant à ceux qui y ont pris part, les faits mêmes les désigneront.

Mais, du moins, pendant ce long intervalle, ont-ils pris les serments des alliés ? ont-ils rempli leurs autres devoirs ? Non, mille fois non ! Absents d'Athènes pendant trois mois entiers, ayant reçu de vous, pour leurs dépenses, mille drachmes, indemnité plus forte

καὶ ἀνοσιωτάτους.
Οὗτος δὲ ἦν ὁ ἀντιλέγων
φανερῶς τούτοις,
καὶ ἐναντιούμενος ἅπασιν
οἷς ἐγὼ μὲν ἔλεγον,
ἐψήφιστο δὲ ὑπὸ ὑμῶν.
Εἴσεσθε δὲ αὐτίκα
εἰ ταῦτα
ἤρεσκε καὶ
πᾶσι τοῖς ἄλλοις πρέσβεσιν.
Ἐγὼ μὲν γὰρ λέγω οὐδέν πω
περὶ οὐδενός, οὐδὲ αἰτιῶμαι,
οὐδὲ δεῖ οὐδένα αὐτῶν
ἀναγκασθέντα
δοκεῖν τήμερον
εἶναι χρηστόν,
ἀλλὰ
διὰ αὑτόν,
καὶ τὸ μὴ κεκοινωνηκέναι
τῶν ἀδικημάτων.
Ὑμεῖς μὲν γὰρ πάντες ἑωράκατε
ὅτι τὰ πεπραγμένα
αἰσχρὰ καὶ δεινά,
καὶ οὐ προῖκα.
Αὐτὰ δὲ
δηλώσει
οἵτινες οἱ μετεσχηκότες τούτων.
Ἀλλὰ νὴ Δία,
ἐν τούτῳ τῷ χρόνῳ
ἔλαβον τοὺς ὅρκους
παρὰ τῶν συμμάχων;
ἢ ἐποίησαν τὰ ἄλλα,
ἃ προσῆκε;
καὶ δεῖ πολλοῦ γε.
Ἀλλὰ ἀποδημήσαντες
τρεῖς μῆνας ὅλους,
καὶ λαβόντες παρὰ ὑμῶν
ἐφόδιον
χιλίας δραχμάς,
ὅσα

et très-impies.
Or celui-ci était celui qui contredisait
ouvertement ces *paroles*,
et qui s'opposait à tout
ce que moi je disais, [vous.
et *à tout ce qui* avait été décrété par
Et vous saurez bientôt [chine)
si ces choses (cette opposition d'Es-
plaisait aussi
à tous les autres députés.
Car, pour moi, je ne dis rien encore
d'aucun *d'eux*, je n'*en* accuse point,
et il ne faut pas *qu'*aucun d'eux
contraint (par contrainte)
paraisse aujourd'hui
être homme-de-bien,
mais *il faut qu'il paraisse tel*
par lui-même,
et *par* le n'avoir point participé
aux prévarications *de l'ambassade.*
Vous tous, en effet, vous avez vu
que les actes *de la députation*
sont honteux et très-coupables,
et non gratuitement (et intéressés).
Mais *ces actes* eux-mêmes
montreront-clairement
quels *sont* ceux ayant participé à eux.
Mais, par Jupiter,
pendant ce temps-là,
recevaient-ils les serments
des alliés?
ou firent-ils les autres *démarches*,
qu'il convenait *de faire?*
il s'en faut même de beaucoup.
Mais, ayant été-absents-de-leur-pays
trois mois entiers,
et ayant reçu de vous
comme indemnité-de-route
mille drachmes,
autant que *des députés ne reçoivent*

λεως[1], οὔθ' ὅτ' ἐκεῖσε ἐπορεύοντο, οὔθ' ὅτ' ἐκεῖθεν δεῦρο, τοὺς ὅρκους ἔλαβον. Ἀλλ' ἐν τῷ πανδοκείῳ τῷ πρὸ τοῦ Διοσκουρείου (εἴ τις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν, ὃ λέγω), ἐνταῦθ' ἐγίγνοντο οἱ ὅρκοι, ὅτε δεῦρ' ἤδη τὸ στράτευμα ἄγων ἐβάδιζε Φίλιππος, αἰσχρῶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀναξίως ὑμῶν. Καίτοι τοῦθ' ὁ Φίλιππος ἁπάντων ἂν ἐτιμήσατο πλείστου τοῦτον τὸν τρόπον πραχθῆναι. Τήν τε γὰρ εἰρήνην οὐχὶ δυνηθέντων ὡς ἐπεχείρησαν οὗτοι τὸ πρῶτον, πλὴν Ἁλέων καὶ Φωκέων, γράψαι· ἀλλ' ἀναγκασθέντος ὑφ' ὑμῶν τοῦ Φιλοκράτους ταῦτα μὲν ἀπαλεῖψαι, γράψαι δ' ἄντικρυς « Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις, » οὐκ ἠβούλετο τοῦτον ὀμωμοκέναι τὸν ὅρκον οὐδένα τῶν αὐτοῦ συμμάχων (οὐ γὰρ αὐτῷ συστρατεύσειν ἐφ' ἃ νῦν ἔχει τῶν ὑμετέρων ἤμελ-

que celles qu'allouent les autres républiques, ils n'ont fait jurer le traité à aucun peuple, ni à leur départ, ni à leur retour. Seulement, dans une auberge située en face du temple des Dioscures, et connue de ceux d'entre vous qui ont fait le voyage de Phères, ils ont reçu la parole de Philippe, lorsque déjà il marchait sur l'Attique, à la tête d'une armée : quelle honte, quel affront pour vous, hommes d'Athènes ! Mais Philippe attachait le plus haut prix à ce que tout se passât ainsi. Comme les coupables n'avaient pu, malgré leurs efforts, exclure du traité les Haliens et les Phocidiens; comme vous aviez forcé Philocrate à effacer cette exception, et à désigner formellement *les Athéniens et les alliés d'Athènes*, Philippe ne voulait pas qu'aucun de ses alliés prêtât un serment dont ils se seraient prévalu pour ne point con-

παρὰ οὐδεμιᾶς ἄλλης πόλεως, d'aucune autre cité,
ἔλαβον τοὺς ὅρκους ils ne reçurent les serments
οὔτε ὅτε ἐπορεύοντο ni lorsqu'ils allaient
ἐκεῖσε, là (en Macédoine),
οὔτε ὅτε ἐκεῖθεν δεῦρο. ni lorsqu'*ils revenaient* de là ici.
Ἀλλὰ ἐν τῷ πανδοκείῳ Mais dans l'hôtellerie [res
τῷ πρὸ τοῦ Διοσκουρείου *située* devant le temple-des-Dioscu-
(εἴ τις ὑμῶν (si l'un de vous
ἀφῖκται εἰς Φεράς, est allé à Phères,
οἶδεν ὃ λέγω), il connaît *ce* que je dis),
ἐνταῦθα là, *dis-je*,
οἱ ὅρκοι ἐγίγνοντο, les serments eurent lieu,
ὅτε Φίλιππος lorsque Philippe [l'Attique)
ἐβάδιζεν ἤδη δεῦρο marchait déjà ici (s'avançait contre
ἄγων τὸ στράτευμα· conduisant une armée :
αἰσχρῶς, *cela fut fait* honteusement,
ὦ ἄνδρες Ἀθηναῖοι, ô Athéniens,
καὶ ἀναξίως ὑμῶν. et d'une-manière-indigne de vous.
Καίτοι ὁ Φίλιππος ἂν ἐτιμήσατο Toutefois Philippe aurait apprécié
πλείστου ἁπάντων plus que tout
τοῦτο πραχθῆναι cela avoir été fait (que cela se fît)
τοῦτον τὸν τρόπον. de cette manière.
Οὐχὶ δυνηθέντων γὰρ Car *les députés* n'ayant pas pu
γράψαι τε τὴν εἰρήνην, rédiger le traité-de-paix
πλὴν Ἁλέων excepté (en exceptant) les Haliens
καὶ Φωκέων, et les Phocidiens, [bord ;
ὡς οὗτοι ἐπεχείρησαν τὸ πρῶτον· comme ceux-ci avaient essayé d'a-
ἀλλὰ τοῦ Φιλοκράτους Philocrate, au contraire,
ἀναγκασθέντος ὑπὸ ὑμῶν ayant été forcé par vous
ἀπαλεῖψαι μὲν ταῦτα, d'effacer cela,
γράψαι δὲ ἄντικρυς, et d'écrire formellement,
« Ἀθηναίοις « pour les Athéniens
καὶ τοῖς συμμάχοις Ἀθηναίων, » et pour les alliés des Athéniens, »
οὐκ ἠβούλετο οὐδένα *Philippe* ne voulait pas *qu'*aucun
τῶν συμμάχων αὐτοῦ des alliés de lui-même
ὀμωμοκέναι jurât
τοῦτον τὸν ὅρκον ce serment *d'observer la paix*
(οὐ γὰρ ἤμελλον (car ils ne devaient pas *dès lors*
συστρατεύσειν αὐτῷ combattre-avec lui
ἐπὶ ἃ τῶν ὑμετέρων contre *celles* de vos *possessions*

λον, ἀλλ' ἔξειν πρόφασιν τοὺς ὅρκους)· οὔτε μάρτυρας γενέσθαι τῶν ὑποσχέσεων, ἐφ' αἷς εὑρίσκετο τὴν εἰρήνην· οὐδὲ τοῦτο δειχθῆναι πᾶσιν, ὅτι οὐκ ἄρα ἡ πόλις ἡ τῶν Ἀθηναίων ἥττητο τῷ πολέμῳ, ἀλλὰ Φίλιππός ἐστιν ὁ τῆς εἰρήνης ἐπιθυμῶν, καὶ ὁ πολλὰ ὑπισχνούμενος τοῖς Ἀθηναίοις, ὥστε τυχεῖν τῆς εἰρήνης. Ἵνα δὴ μὴ γένηται ταῦθ', ἃ λέγω, φανερά, διὰ ταῦτ' ᾤετο δεῖν τούτους μηδαμόσε βαδίζειν. Οὗτοι δ' ἐχαρίζοντο πάντ', ἐνδεικνύμενοι καὶ ὑπερκολακεύοντες ἐκεῖνον. Καίτοι ταῦθ' ὅταν ἐξελέγχωνται πάντα, τοὺς χρόνους ἀνηλωκότες, τὰ ἐν Θράκῃ προειμένοι, μηδέν, ὧν ἐψηφίσασθε, πεποιηκότες, μηδ' ὧν συμφέρον ἦν, τὰ ψευδῆ δεῦρ' ἀπεγγελκότες· πῶς ἔνεστι παρ' εὖ φρονοῦσι δικα-

courir à ses usurpations sur nous; il ne voulait pas donner des témoins aux engagements par lesquels il obtenait la paix; il ne voulait pas qu'il fût démontré à tous que la république athénienne était loin de traiter comme vaincue, que c'était Philippe qui soupirait après la paix, Philippe qui, à force de promesses, recevait la paix d'Athènes. Pour prévenir toutes ces indiscrétions, il jugeait à propos que nos députés ne se rendissent nulle part : coupable complaisance qu'ils accordèrent, en affichant pour lui le zèle le plus servile ! Or, s'ils sont convaincus de tous ces délits, perte de temps, abandon des forts de Thrace, refus d'agir d'après vos ordres et vos intérêts, rapports mensongers, peuvent-ils être absous par des juges prudents et

ἔχει νῦν,
ἀλλὰ ἔξειν τοὺς ὅρκους
πρόφασιν)·
οὔτε
μάρτυρας γενέσθαι
τῶν ὑποσχέσεων ἐπὶ αἷς
εὑρίσκετο τὴν εἰρήνην·
οὐδὲ τοῦτο
δειχθῆναι πᾶσιν,
ὅτι οὐκ ἄρα ἡ πόλις
ἡ τῶν Ἀθηναίων
ἥττητο τῷ πολέμῳ,
ἀλλὰ Φίλιππός ἐστιν
ὁ ἐπιθυμῶν
τῆς εἰρήνης,
καὶ ὁ ὑπισχνούμενος
πολλὰ τοῖς Ἀθηναίοις,
ὥστε τυχεῖν τῆς εἰρήνης.
Ἵνα δὴ ταῦτα,
ἃ λέγω,
μὴ γένηται φανερά,
διὰ ταῦτα ᾤετο δεῖν
τούτους
βαδίζειν μηδαμόσε.
Οὗτοι δὲ ἐχαρίζοντο πάντα,
ἐνδεικνύμενοι
καὶ ὑπερκολακεύοντες ἐκεῖνον.
Καίτοι, ὅταν ἐξελέγχωνται
πάντα ταῦτα,
ἀνηλωκότες τοὺς χρόνους,
προειμένοι
τὰ ἐν Θράκῃ,
πεποιηκότες μηδὲν
ὧν ἐψηφίσασθε,
μηδὲ ὧν ἦν συμφέρον,
ἀπηγγελκότες δεῦρο
τὰ ψευδῆ·
πῶς ἔνεστι τούτοις
σώζεσθαι
παρὰ δικασταῖς εὖ φρονοῦσι

qu'il a maintenant,
mais *ils devaient* avoir les serments
pour excuse) ;
il ne voulait pas non plus [moins)
des témoins être (qu'il y eût des té-
des promesses par lesquelles
il obtenait la paix ;
ni *que* ceci
fût démontré à tous *les Grecs*,
savoir, que *ce* n'*était* pas la cité
des Athéniens
qui était vaincue à la guerre,
mais *que* Philippe est
celui qui désire-ardemment
la paix,
et celui qui promet
beaucoup de choses aux Athéniens,
pour obtenir la paix.
Afin donc que ces *circonstances*
que je dis, [nues,
ne devinssent pas clairement-con-
pour cela, il croyait *qu'*il fallait
que ces députés
n'allassent nulle part.
Or ceux-ci *lui* complaisaient en tout,
manifestant *leur condescendance*,
et flattant-à-l'excès ce *prince*.
Eh bien! lorsqu'ils sont convaincus
de tous ces *délits*,
ayant (d'avoir) dissipé le temps,
ayant (d'avoir) livré
les *forteresses situées* en Thrace,
*n'*ayant (de n'avoir) fait rien
de *ce* que vous décrétâtes,
ni *de ce* qu'il était utile *de faire*,
ayant (d'avoir) rapporté ici
des mensonges ;
comment est-il-possible à eux
d'être sauvés (acquittés)
auprès de juges bien pensants

σταῖς, καὶ βουλομένοις εὐορκεῖν, τούτοις σώζεσθαι; Ἀλλὰ μήν, ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε πρῶτον μὲν τὸ ψήφισμα, ὡς ὅρκοῦν προσῆκεν ἡμῖν· εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου· εἶτα τὸ Φιλοκράτους ψήφισμα, καὶ τὸ τοῦ δήμου[1].

ΕΠΙΣΤΟΛΗ. ΨΗΦΙΣΜΑΤΑ.

Καὶ μήν, ὅτι τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ κατελάβομεν ἄν, εἴ τις ἐπείθετό μοι, καὶ τὰ προστεταγμένα ὑφ' ὑμῶν ἐποίει κατὰ τὰ ψηφίσματα, κάλει τοὺς ἐκεῖ παρόντας μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς Εὐκλείδην ὕστερον ἐλθόντα τουτονὶ ἀπεκρίνατο Φίλιππος[2].

ΜΑΡΤΥΡΙΑ.

Ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν αὐτοῖς, τὸ μὴ ταῦθ' ὑπὲρ Φιλίππου πράττειν, ἀκούσατέ μου. Ὅτε γὰρ τὴν προτέραν ἀπήρομεν πρεσβείαν, τὴν περὶ τῆς εἰρήνης, κήρυκα ὑμεῖς προαπεστείλατε, ὅστις ἡμῖν σπείσεται. Τότε μὲν τοίνυν, ὡς τάχιστα εἰς

fidèles à leur parole? Eh bien! pour vérifier mes assertions, qu'on lise d'abord le décret qui statue sur les serments que nous devions exiger; ensuite la lettre de Philippe, puis le décret de Philocrate, enfin celui du peuple.

LETTRE. DÉCRETS.

Pour preuve que, si l'on eût voulu m'en croire, et suivre les instructions émanées du peuple, nous aurions atteint Philippe dans l'Hellespont, appelle les témoins qui étaient sur les lieux.

TÉMOINS.

Lis aussi une autre déposition, la réponse du prince à Euclide, que vous connaissez, et qui vint après nous.

DÉPOSITION.

Prouvons maintenant que les députés ne peuvent nier d'avoir servi, en tout, la cause de Philippe. A notre départ pour les négociations de la paix, objet de la première ambassade, vous fîtes prendre les devants à un héraut pour assurer notre marche. A peine arrivés à

καὶ βουλομένοις εὐορκεῖν ;
Ἀλλὰ μήν, ὅτι λέγω
ταῦτα ἀληθῆ,
λέγε πρῶτον μὲν τὸ ψήφισμα,
ὡς προσῆκεν ἡμῖν
ὅρκους·
εἶτα τὴν ἐπιστολὴν
τὴν τοῦ Φιλίππου·
εἶτα τὸ ψήφισμα Φιλοκράτους,
καὶ τὸ τοῦ δήμου.

et voulant observer-leur-serment?
Mais, *pour preuve* que je dis
ces choses vraies,
lis premièrement le décret,
portant comment il convenait à nous
de recevoir-les-serments :
ensuite la lettre
de Philippe ;
ensuite le décret de Philocrate,
et celui du peuple.

ΕΠΙΣΤΟΛΗ. ΨΗΦΙΣΜΑΤΑ.

LETTRE. DÉCRETS.

Καὶ μὴν κάλει
τοὺς παρόντας ἐκεῖ
μάρτυρας
ὅτι κατελάβομεν ἂν
τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ,
εἴ τις ἐπείθετό μοι,
καὶ ἐποίει
κατὰ τὰ ψηφίσματα
τὰ προστεταγμένα ὑπὸ ὑμῶν.

Appelle aussi
ceux qui étaient-présents là
comme témoins
que nous aurions rencontré
Philippe dans l'Hellespont,
si quelqu'un *en* avait cru moi,
et eût fait
conformément aux décrets
les choses ordonnées par vous.

ΜΑΡΤΥΡΕΣ.

TÉMOINS.

Λεγε δὴ καὶ
τὴν ἑτέραν μαρτυρίαν,
ἃ Φίλιππος ἀπεκρίνατο
πρὸς Εὐκλείδην τουτονὶ
ἐλθόντα ὕστερον.

Lis encore
l'autre déposition,
à savoir, ce que Philippe répondit
à Euclide ici présent,
qui alla plus tard *vers lui*.

ΜΑΡΤΥΡΙΑ.

DÉPOSITION.

Ἀκούσατε τοίνυν μου
ὅτι οὐδὲ ἄρνησίς
ἐστιν αὐτοῖς
τὸ μὴ πράττειν
ταῦτα ὑπὲρ Φιλίππου.
Ὅτε γὰρ ἀπήρομεν
τὴν προτέραν πρεσβείαν,
τὴν περὶ τῆς εἰρήνης,
ὑμεῖς προαπεστείλατε κήρυκα,
ὅστις σπείσεται

Or, apprenez de moi
que possibilité-de-nier
n'est pas à eux [fait)
pour dire ne pas faire (n'avoir pas
ces choses pour Philippe.
En effet, lorsque nous partions
pour la première ambassade,
celle concernant la paix,
vous envoyâtes-devant un héraut,
qui fera-trêve

Ὠρεὸν ἦλθον, οὐχ ἀνέμειναν τὸν κήρυκα, οὐδ' ἐποίησαν χρόνον οὐδένα. Ἄλου δὲ πολιορκουμένου διέπλευσαν εἰς τοῦτον. Καὶ πάλιν ἐντεῦθεν πρὸς Παρμενίωνα τὸν πολιορκοῦντα ἐξελθόντες, ἀπῆραν διὰ τοῦ πολεμίου στρατεύματος εἰς Παγασάς. Καὶ προϊόντες, ἀπήντων ἐν Λαρίσσῃ τῷ κήρυκι[1]. Τοσαύτῃ σπουδῇ καὶ προθυμίᾳ τότ' ἐχώρουν. Ἐπειδὴ δὲ εἰρήνη μὲν ἦν, ἅπασα δὲ ἀσφάλεια ἰέναι, καὶ πρόσταγμα παρ' ὑμῶν σπεύδειν, τηνικαῦτα οὔτ' ἐπείγεσθαι βαδίζουσιν, οὔτε πλεῖν αὐτοῖς ἐπῆλθεν. Τί δή ποτε; ὅτι τότε μὲν τὸ τὴν εἰρήνην ὡς τάχιστα γενέσθαι, τοῦτ' ἦν ὑπὲρ Φιλίππου· νῦν δέ, τὸ ὡς πλεῖστον τὸν μεταξὺ χρόνον διατριφθῆναι πρὸ τοῦ τοὺς ὅρκους ἀπολαβεῖν. Ἀλλὰ μήν, ὅτι καὶ ταῦτ' ἀληθῆ λέγω, λάβε μοι καὶ ταύτην τὴν μαρτυρίαν.

Oréos, les députés, sans attendre le héraut, sans perdre un moment, se rendirent par mer dans Halos, ville assiégée, se dirigèrent de là vers Parménion qui l'attaquait, parvinrent à Pagases à travers l'armée ennemie, et, avançant toujours, ne furent joints qu'à Larisse par le héraut : tant ils mettaient d'ardeur et de précipitation dans leur course! Et, lorsque la paix était décidée, et la sécurité du voyage entière, lorsque vous ordonniez de se hâter, il ne leur est venu à l'esprit ni d'accélérer leur marche, ni de se mettre en mer! Pourquoi cette différence? c'est que l'intérêt de Philippe exigeait, dans le premier cas, la paix la plus expéditive, et dans le second, l'intervalle le plus prolongé entre les stipulations et les serments. — Prends encore la déposition qui attestera ce que j'avance.

ἡμῖν.
Τότε μὲν τοίνυν, ὡς τάχιστα
ἦλθον εἰς Ὠρεόν,
οὐκ ἀνέμειναν τὸν κήρυκα,
οὐδὲ ἐποίησαν οὐδένα χρόνον.
Ἅλου δὲ
πολιορκουμένου,
διέπλευσαν εἰς τοῦτον.
Καὶ πάλιν ἐντεῦθεν ἐξελθόντες
πρὸς Παρμενίωνα
τὸν πολιορκοῦντα,
ἀπῆραν εἰς Παγασὰς
διὰ τοῦ στρατεύματος πολεμίου.
Καὶ προϊόντες,
ἀπήντων τῷ κήρυκι
ἐν Λαρίσσῃ.
Τοσαύτῃ σπουδῇ καὶ προθυμίᾳ
ἐχώρουν τότε.
Ἐπειδὴ δὲ εἰρήνη μὲν ἦν,
ἅπασα δὲ ἀσφάλεια
ἰέναι,
καὶ πρόσταγμα παρὰ ὑμῶν
σπεύδειν,
τηνικαῦτα ἐπῄει
αὐτοῖς βαδίζουσιν
οὔτε ἐπείγεσθαι,
οὔτε πλεῖν.
Τί δή ποτε;
ὅτι τότε μὲν τοῦτο,
τὸ τὴν εἰρήνην γενέσθαι
ὡς τάχιστα,
ἦν ὑπὲρ Φιλίππου·
νῦν δέ,
τὸ ὡς πλεῖστον χρόνον
τὸν μεταξὺ
διατριφθῆναι
πρὸ τοῦ ἀπολαβεῖν τοὺς ὅρκους.
Ἀλλὰ μήν, λάβε μοι
καὶ ταύτην τὴν μαρτυρίαν
ὅτι λέγω καὶ ταῦτα ἀληθῆ.

pour nous (pour notre passage).
Or, à-cette-époque, aussitôt que
les députés furent arrivés à Oréos,
ils n'attendirent pas le héraut,
et ne firent aucun délai.
Mais, *la ville de* Halos
étant assiégée,
ils entrèrent-par-mer en elle.
Et encore de-là étant sortis
vers Parménion
qui assiégeait *cette ville*,
ils allèrent à Pagases
à-travers l'armée ennemie.
Et allant-en-avant,
ils rencontrèrent le héraut
à Larisse.
Avec si-grand empressement et zèle
ils marchaient alors!
Mais lorsque la paix existait,
et *qu'il y avait* toute sécurité
pour voyager,
et ordre de vous
de se hâter,
alors il *ne* vint à *l'esprit*
d'eux voyageant
ni de se presser,
ni d'aller-par-mer.
Pourquoi donc *cette différence?*
parce qu'alors ceci, *savoir*,
la paix se-faire
le plus promptement possible,
était de-l'intérêt de Philippe;
mais maintenant,
c'est que le plus long temps
dans l'intervalle
ait été consumé
avant de recevoir les serments.
D'ailleurs, prends-moi
aussi cette déposition *attestant*
que je dis encore ces choses vraies

ΜΑΡΤΥΡΙΑ.

Ἔστιν οὖν ὅπως ἂν μᾶλλον ἄνθρωποι πάνθ' ὑπὲρ Φιλίππου πράττοντες ἐξελεγχθεῖεν, ἢ τὴν αὐτὴν ὁδόν, ἡνίκα μὲν σπεύδειν ὑπὲρ ὑμῶν ἔδει, καθήμενοι, ὅτε δ' οὐδὲ βαδίζειν προσῆκε, πρὶν ἐλθεῖν τὸν κήρυκα, ἐπειγόμενοι;

Ὃν τοίνυν χρόνον ἦμεν ἐκεῖ καὶ καθήμεθ' ἐν Πέλλῃ, σκέψασθε, τί πράττειν ἕκαστος ἡμῶν προείλετο. Ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους ἀνασώζειν, καὶ ζητεῖν, καὶ παρ' ἐμαυτοῦ χρήματ' ἀναλίσκειν, καὶ Φίλιππον ἀξιοῦν, ὧν ἡμῖν ἐδίδου ξενίων, τούτους λύσασθαι. Οὗτος δέ, αὐτίχ' ἀκούσεσθε, τί ποιῶν διετέλεσε. Τί οὖν ἦν τοῦτο, τὸ κοινῇ τὸν Φίλιππον χρήμαθ' ἡμῖν διδόναι; Ἵνα γὰρ μηδὲ τοῦτ' ἀγνοῆτε, ἐκεῖνος ἡμᾶς διεκωδώνιζεν ἅπαντας· τίνα τρόπον; ἑκάστῳ προσπέμπων ἰδίᾳ,

DÉPOSITION.

Dans la même route, s'arrêter quand vous réclamiez toute leur célérité, s'élancer lorsque, pour faire les premiers pas, il convenait d'attendre le héraut : est-il rien qui convainque mieux ces hommes d'avoir été en tout les agents de Philippe?

Ce séjour, ce temps passé à Pella, comment l'avons-nous employé l'un et l'autre? Moi, je cherchais nos captifs, je travaillais à leur rachat, j'y dépensais mon argent, je demandais au prince leur liberté, à la place des dons qu'il nous offrait : fidèle à lui-même, que faisait Eschine? je le dirai tout à l'heure. Mais qu'est-ce que cette offre de présents, faite en commun par Philippe? car c'est un point que vous devez aussi connaître. Philippe, par ses envoyés, sonda

MAPTYPIA.	DÉPOSITION.
Ἔστιν οὖν ὅπως	Est-il donc comment (possible que)
ἄνθρωποι	des hommes
ἂν ἐξελεγχθεῖεν μᾶλλον	soient convaincus mieux
πράττοντες πάντα	faisant (de faire) tout
ὑπὲρ Φιλίππου,	pour Philippe,
ἢ τὴν αὐτὴν ὁδόν,	que, dans la même route,
καθήμενοι μὲν	étant (être)-restés-oisifs
ἡνίκα ἔδει	lorsqu'il fallait
σπεύδειν ὑπὲρ ὑμῶν,	se hâter pour vous, [traire
ἐπειγόμενοι δὲ	se pressant (s'être pressés) au-con-
ὅτε οὐδὲ προσῆκε	lorsqu'il ne convenait point
βαδίζειν,	de partir,
πρὶν τὸν κήρυκα ἐλθεῖν;	avant que le héraut être (fût) arrivé?
Σκέψασθε τοίνυν τί	Or, examinez quelle chose
ἕκαστος ἡμῶν	chacun de nous
προείλετο πράττειν	entreprit de faire
ὃν χρόνον ἦμεν ἐκεῖ	*pendant* le temps que nous étions là
καὶ καθήμεθα ἐν Πέλλῃ.	et que nous étions-oisifs dans Pella.
Ἐγὼ μὲν τοίνυν ἀνασώζειν	Moi, d'un côté, *j'entrepris* de ra-
τοὺς αἰχμαλώτους,	les prisonniers-de-guerre, [cheter
καὶ ζητεῖν,	et de *les* chercher,
καὶ ἀναλίσκειν χρήματα	et de dépenser de l'argent
παρὰ ἐμαυτοῦ,	de moi-même,
καὶ ἀξιοῦν Φίλιππον	et de demander à Philippe
λύσασθαι τούτους	de délivrer ceux-ci
ξενίων	au-prix-des-présents-d'hospitalité
ὧν ἐδίδου ἡμῖν.	qu'il donnait à nous. [bientôt
Ἀκούσεσθε δὲ αὐτίκα	D'un autre côté, vous apprendrez
τί οὗτος	quelle chose celui-ci (Eschine)
διετέλεσε ποιῶν.	continuait faisant (de faire).
Τί οὖν ἦν τοῦτο,	Mais qu'était-ce que ceci,
τὸ τὸν Φίλιππον διδόναι	*savoir*, Philippe donner
ἡμῖν χρήματα κοινῇ;	à nous des présents en commun?
Ἵνα γὰρ μηδὲ ἀγνοῆτε τοῦτο,	Afin que vous n'ignoriez point cela,
ἐκεῖνος	ce *prince*
διεκωδώνιζεν ἡμᾶς ἅπαντας·	sondait nous tous :
τίνα τρόπον;	de quelle manière?
προσπέμπων ἑκάστῳ	en envoyant-près de chacun

καὶ πολύ γε, ὦ ἄνδρες Ἀθηναῖοι, διδοὺς χρυσίον. Ὡς δ' ἀπετύγχανεν ὁτουδήποτε (οὐ γὰρ ἐμέ γ' εἰπεῖν ἐμαυτὸν δεῖ, ἀλλὰ τὰ ἔργα καὶ τὰ πεπραγμένα αὐτὰ δηλώσει), τὰ κοινῇ δοθέντα πάντας ἡγεῖτο εὐήθως λήψεσθαι· ἀσφάλειαν οὖν ἔσεσθαι τοῖς ἰδίᾳ πεπρακόσιν ἑαυτούς, εἰ καὶ κατὰ μικρὸν τοῦ κοινῇ λαβεῖν πάντες μετάσχοιμεν. Διὰ ταῦτ' ἐδίδοτο ξένια δὴ πρόφασιν. Ἐπειδὴ δ' ἐκώλυσα ἐγώ, πάλιν προσδιενείμαντο οὗτοι. Τῷ Φιλίππῳ δ', ἐπειδὴ ταῦτ' εἰς τοὺς αἰχμαλώτους ἠξίουν αὐτὸν ἀναλίσκειν ἐγώ, οὔτε κατειπεῖν τούτων εἶχε καλῶς, οὐδ' εἰπεῖν, ὅτι· ἀλλ' ἔχουσιν ὁ δεῖνα καὶ ὁ δεῖνα, οὔτε φυγεῖν τὸ ἀνάλωμα· ὡμολόγησε μὲν δή, διεκρούσατο δέ, εἰς τὰ Παναθήναια φήσας

chacun de nous en particulier, fit briller l'or à nos yeux, offrit beaucoup d'or, ô Athéniens! Il échoua auprès d'un député (ce n'est pas à moi à me nommer ; les faits lèveront ce voile) : alors il crut que des dons en masse seraient reçus par tous sans défiance, et que la moindre participation à des largesses communes servirait de sauvegarde aux députés vendus. De là, ces dons qui avaient l'hospitalité pour prétexte. Mon refus augmenta la part des autres dans cette nouvelle distribution. Pour Philippe, quand je lui demandais de reporter sa générosité sur les prisonniers, ne pouvant décemment ni dénoncer les députés en répondant que tel et tel avaient reçu, ni paraître craindre la dépense, il éluda ma prière sans la rejeter, et remit le

ἰδίᾳ,
καὶ διδοὺς πολύ γε χρυσίον,
ὦ ἄνδρες Ἀθηναῖοι.
Ὡς δὲ ἀπετύγχανεν
ὁτουδήποτε
(οὐ γὰρ δεῖ ἐμέ γε
εἰπεῖν ἐμαυτόν,
ἀλλὰ τὰ ἔργα
καὶ τὰ πεπραγμένα αὐτὰ
δηλώσει),
ἡγεῖτο
πάντας
λήψεσθαι εὐήθως
τὰ δοθέντα κοινῇ·
ἀσφάλειαν οὖν ἔσεσθαι
τοῖς πεπρακόσιν ἑαυτοὺς
ἰδίᾳ,
εἰ πάντες μετάσχοιμεν
τοῦ λαβεῖν κοινῇ
καὶ κατὰ μικρόν.
Διὰ ταῦτα
ἐδίδοτο ξένια δὴ
πρόφασιν.
Ἐπειδὴ δὲ
ἐγὼ ἐκώλυσα,
οὗτοι πάλιν
προδιενείμαντο.
Ἐπειδὴ δὲ ἐγὼ ἠξίουν
αὐτὸν
ἀναλίσκειν ταῦτα
εἰς τοὺς αἰχμαλώτους,
οὔτε εἶχε καλῶς τῷ Φιλίππῳ
κατειπεῖν τούτων,
οὐδὲ εἰπεῖν ὅτι· ἀλλὰ ὁ δεῖνα
καὶ ὁ δεῖνα
ἔχουσιν,
οὔτε φυγεῖν τὸ ἀνάλωμα·
ὡμολόγησε μὲν δή,
διεκρούσατο δέ, φήσας
ἀποπέμψειν

en particulier,
et donnant même beaucoup d'or,
ô hommes Athéniens.
Or, comme il ne-réussissait-pas
auprès d'un-quel-qu'il-fût
(car il ne faut pas *que* moi certes
je nomme moi-même,
mais les actes
et les événements eux-mêmes
me montreront-clairement),
Philippe crut
que tous *les députés*
recevraient bonnement
des choses données en commun;
que sécurité ainsi serait acquise
pour ceux qui avaient vendu eux-mê-
individuellement, [mes
si tous nous participions
à recevoir en commun
même pour petite *part.*
Pour cela,
il donnait des présents-d'hospitalité
comme prétexte.
Mais, comme
je m'*y* opposai (je refusai),
ceux-ci de nouveau
se-partagèrent-le-surplus.
Lors donc que je demandais
à lui (à Philippe)
de dépenser cela
pour les prisonniers de guerre,
il n'eût pas été bien à Philippe
de dénoncer ceux-ci (les députés),
ni de dire que : mais un tel
et un tel
ont (ont partagé mes dons),
ni d'éviter la dépense;
il convint, il est vrai, *d'affranchir,*
mais il ajourna, affirmant
*qu'*il renverrait *les captifs*

ἀποπέμψειν. Λέγε τὴν μαρτυρίαν τὴν Ἀπολλοφάνους, εἶτα τὴν τῶν ἄλλων τῶν παρόντων. Λέγε.

ΜΑΡΤΥΡΙΑΙ.

Φέρε δὴ καὶ ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων, εἶπω πρὸς ὑμᾶς. Ἐν ὅσῳ γάρ, οὐχὶ παρόντος πω τοῦ Φιλίππου, διετρίβομεν ἐν Πέλλῃ, ἔνιοι τῶν ἑαλωκότων, ὅσοι περ ἦσαν ἐξ-ηγγυημένοι, ἀπιστοῦντες, ὡς ἐμοὶ δοκεῖ, μὴ δυνήσεσθαί με ταῦτα πεῖσαι τὸν Φίλιππον, ἑαυτοὺς ἔφασαν βούλεσθαι λύσασθαι, καὶ μηδεμίαν τούτου χάριν ἔχειν Φιλίππῳ, καὶ ἐδανείζοντο, ὁ μὲν τρεῖς μνᾶς, ὁ δὲ πέντε, ὁ δὲ ὅπως συνέβαινεν ἑκάστῳ τὰ λύτρα. Ἐπειδὴ τοίνυν ὡμολόγησεν ὁ Φίλιππος τοὺς λοιποὺς λύσεσθαι, συγκαλέσας ἐγὼ τούτους, οἷς αὐτὸς ἔχρησα ταργύριον, καὶ τὰ πεπραγμένα ὑπομνήσας, ἵνα μὴ δοκοῖεν ἔλαττον ἔχειν ἐπει-

renvoi des captifs aux Panathénées. — Lis la déposition d'Apollophane, et ensuite celle des autres témoins.

DÉPOSITIONS.

Parlons maintenant des captifs que j'ai moi-même rachetés avant l'arrivée de Philippe, pendant notre séjour à Pella. Quelques-uns, relâchés sous caution, n'espérant pas, je crois, me voir fléchir le prince, me dirent : « Nous aimons mieux nous racheter nous-mêmes, que d'avoir cette obligation au Macédonien. » Ils m'empruntèrent donc, celui-ci trois mines; celui-là cinq ; d'autres, une rançon complète. Mais, lorsque Philippe eut promis de renvoyer le reste des prisonniers, rassemblant ceux à qui j'avais prêté, je leur rappelai ce qui s'était passé entre nous; et, pour que des citoyens pauvres, ra-

εἰς τὰ Παναθήναια.
Λέγε τὴν μαρτυρίαν
τὴν Ἀπολλοφάνους, εἶτα
τὴν τῶν ἄλλων τῶν παρόντων.
Λέγε.

aux Panathénées.
Lis la déposition
d'Apollophane, puis
celle des autres *personnes* présentes.
Lis.

ΜΑΡΤΥΡΙΑΙ.

Φέρε δή, εἶπω πρὸς ὑμᾶς
καὶ ὅσους τῶν αἰχμαλώτων
αὐτὸς ἐλυσάμην.
Ἐν ὅσῳ γὰρ
διετρίβομεν ἐν Πέλλῃ,
τοῦ Φιλίππου οὐχί πω παρόντος,
ἔνιοι τῶν ἑαλωκότων,
ὅσοι περ ἦσαν ἐξηγγυημένοι,
ἀπιστοῦντες, ὡς δοκεῖ ἐμοί,
μὲ μὴ δυνήσεσθαι
πεῖσαι ταῦτα
τὸν Φίλιππον,
ἔφασαν βούλεσθαι λύσασθαι
ἑαυτούς,
καὶ ἔχειν Φιλίππῳ
μηδεμίαν χάριν τούτου,
καὶ ἐδανείζοντο,
ὁ μὲν τρεῖς μνᾶς, ὁ δὲ πέντε,
ὁ δὲ ὅπως τὰ λύτρα
συνέβαινεν ἑκάστῳ.
Ἐπειδὴ τοίνυν ὁ Φίλιππος
ὡμολόγησε
λύσεσθαι τοὺς λοιπούς,
ἐγὼ συγκαλέσας τούτους
οἷς αὐτὸς ἔχρησα
τὸ ἀργύριον,
καὶ ὑπομνήσας τὰ πεπραγμένα,
ἔδωκα δωρεὰν
τὰ λύτρα,
ἵνα ἄνθρωποι πένητες
μὴ δοκοῖεν
ἔχειν ἧττον
ἐπειχθέντες,

DÉPOSITIONS.

Allons, que je dise à vous
aussi combien de captifs
moi-même je rachetai.
Donc pendant que
nous passions-le-temps à Pella,
Philippe n'étant pas encore présent,
quelques-uns des captifs,
qui étaient relâchés-sous-caution,
désespérant, comme il semble à moi,
que je ne pourrais point
persuader cela (leur renvoi)
à Philippe,
dirent vouloir s'affranchir
eux-mêmes,
et *n'*avoir à Philippe
aucune obligation de cela,
et *m'*empruntèrent,
celui-ci trois mines, celui-là cinq,
celui-là selon que les rançons
se trouvaient *fixées* à chacun.
Après donc que Philippe
eut promis
d'affranchir les autres,
moi, ayant convoqué ceux
à qui moi-même je prêtai
de l'argent,
et *leur* ayant rappelé les faits,
je *leur* donnai *en* présent
leurs rançons,
afin que *ces* hommes pauvres
ne crussent pas
avoir moins (être moins bien traités)
s'étant hâtés,

χθέντες, μηδ' ἐκ τῶν ἰδίων λελυτρῶσθαι πένητες ἄνθρωποι, τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου προσδοκωμένων ἀφεθήσεσθαι, ἔδωκα δωρεὰν τὰ λύτρα. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Ὅσα μὲν τοίνυν ἀφῆκα χρήματα, καὶ δωρεὰν ἔδωκα τοῖς ἀτυχήσασι τῶν πολιτῶν, ταῦτ' ἐστίν. Ὅταν δ' οὗτος λέγῃ αὐτίκα δὴ πρὸς ὑμᾶς· « Τί ὁήποτε, ὡς φής, ὦ Δημόσθενες, ἀπὸ τοῦ συνειπεῖν ἐμὲ Φιλοκράτει, γνοὺς οὐδὲν ὑγιὲς ἡμᾶς πράττοντας, τὴν μετὰ ταῦτα πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους συνεπρέσβευσας πάλιν, καὶ οὐκ ἐξωμόσω; » Ταῦτα μέμνησθε, ὅτι τούτοις ὡμολογήκειν ἥξειν, οὓς ἐλυσάμην, καὶ κομιεῖν τὰ λύτρα, καὶ σώσειν εἰς δύναμιν. Δεινὸν οὖν ἦν ψεύσασθαι, καὶ προέσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας. Ἰδίᾳ δ', ἐξομοσάμενον, οὐ πάνυ καλόν, οὐδ' ἀσφαλὲς ἦν ἐκεῖσε πλανᾶσθαι. Ἐπεί, εἰ μὴ διὰ τὸ

chetés à leurs dépens, n'eussent pas à se repentir de leur précipitation, tandis que leurs compagnons s'attendaient à être affranchis par le prince, je leur fis présent de leurs rançons. — Lis les dépositions qui le prouvent.

DÉPOSITIONS.

Telles sont les sommes dont j'ai fait remise et présent à des citoyens malheureux. Eschine me dira dans sa défense : « Pourquoi, ô Démosthène, toi, à qui mes paroles en faveur de la motion de Philocrate ont révélé, dis-tu, toutes nos manœuvres, as-tu encore rempli avec nous l'ambassade des serments? pourquoi ne l'as-tu pas refusée ? » Rappelez-vous alors que j'avais promis aux prisonniers que j'ai rachetés de revenir avec les rançons, de me vouer tout entier à leur délivrance. Quel crime de manquer à une telle parole, d'abandonner d'infortunés compatriotes ! Quelle inconvenance, quelle témérité d'errer, démissionnaire et sans titre, en pays ennemi ! N'eût

μηδὲ λελυτρῶσθαι
ἐκ τῶν ἰδίων,
τῶν ἄλλων προσδοκωμένων
ἀφεθήσεσθαι ὑπὸ τοῦ Φιλίππου.
Καὶ λέγε
ταύτας τὰς μαρτυρίας
ὅτι λέγω ταῦτα ἀληθῆ.

ni avoir été rachetés
de leurs propres *deniers*,
les autres *prisonniers* s'attendant
à être renvoyés *gratis* par Philippe.
Lis aussi
ces dépositions *qui attestent*
que je dis ces choses vraies.

ΜΑΡΤΥΡΙΑΙ.

Χρήματα τοίνυν
ὅσα μὲν ἀφῆκα
καὶ ἔδωκα δωρεὰν
τοῖς ἀτυχήσασι τῶν πολιτῶν,
ἔστι ταῦτα.
Ὅταν δὲ οὗτος
λέγῃ αὐτίκα δὴ πρὸς ὑμᾶς·
« Τί δήποτε, ὦ Δημόσθενες,
ὡς φὴς
γνούς,
ἀπὸ τοῦ ἐμὲ συνειπεῖν
Φιλοκράτει,
ἡμᾶς πράττοντας
οὐδὲν ὑγιές,
συνεπρέσβευσας
πάλιν μετὰ ταῦτα
τὴν πρεσβείαν
τὴν ἐπὶ τοὺς ὅρκους,
καὶ οὐκ ἐξωμόσω; »
Μέμνησθε ταῦτα,
ὅτι ὡμολογήκειν
τούτοις οὓς ἐλυσάμην,
ἥξειν,
καὶ κομιεῖν τὰ λύτρα,
καὶ σώσειν εἰς δύναμιν.
Ἦν οὖν δεινὸν ψεύσασθαι,
καὶ προέσθαι ἀνθρώπους πολίτας
δυστυχοῦντας.
Ἦν δὲ
οὐ πάνυ καλὸν οὐδὲ ἀσφαλὲς
πλανᾶσθαι ἐκεῖσε ἰδίᾳ,

DÉPOSITIONS.

Donc, les sommes
dont j'ai tenu-quittes,
et *que* j'ai données *en* présent
aux malheureux d'*entre* les citoyens,
sont celles-là.
Mais quand cet *homme*
dira bientôt à vous :
« Pourquoi donc, ô Démosthène,
puisque tu dis
connaissant (que tu connais),
par le moi parler [avec lui),
pour Philocrate (par mon concours
nous ne faisant (que nous ne faisions)
rien de bon,
t'es-tu acquitté-avec-*nous*-de-l'am-
encore après cela, [bassade
ambassade
pour les serments,
et n'as-tu pas donné-ta-démission? »
Quand il dira cela, souvenez-vous de
que j'étais convenu [ceci,
avec ces *captifs* que je rachetai,
de revenir,
et d'apporter *leurs* rançons,
et de *les* sauver selon *mon* pouvoir.
Il était donc horrible de mentir,
et de trahir des hommes citoyens
malheureux.
Il *n*'était d'ailleurs
pas du tout beau ni sûr [culier,
d'errer dans-ces-pays comme-parti-

τούτους βούλεσθαι σῶσαι, ἐξώλης ἀπολοίμην καὶ προώλης, εἰ καὶ προσλαβών γ' ἂν ἀργύριον πάνυ πολύ, μετὰ τούτων ἐπρέσβευσα. Σημεῖον δέ· ἐπὶ γὰρ τὴν τρίτην πρεσβείαν δὶς με χειροτονησάντων ὑμῶν, δὶς ἐξωμοσάμην. Καὶ παρὰ ταύτην τὴν ἀποδημίαν, πάντα τἀναντία ἔπραττον τούτοις. Ὧν μὲν τοίνυν αὐτοκράτωρ ἦν ἐγὼ κατὰ τὴν πρεσβείαν, τοῦτον ἔσχε τὸν τρόπον ὑμῖν· ἃ δ' οὗτοι πλείους ὄντες ἐνίκων, ἅπαντ' ἀπολώλεκεν. Καίτοι καὶ τἆλλα πάντα ἀκολούθως ἂν τούτοις ἐπέπρακτο, εἴ τις ἐπείθετό μοι. Οὐ γὰρ ἔγωγε οὕτως ἄθλιος οὐδ' ἄφρων ἦν, ὥστε χρήματα μὲν διδόναι, λαμβάνοντας ὁρῶν ἑτέρους, ὑπὲρ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ἃ δ' ἄνευ μὲν δαπάνης οἷά τ' ἦν πραχθῆναι,

été pour rendre des Athéniens à leur patrie, que je meure dans l'exil et avant le temps, si, à quelque prix que ce soit, je fusse parti avec de tels collègues! Voici ma preuve : élu deux fois pour la troisième mission, j'ai deux fois refusé; et, dans le second voyage, ma conduite a été en tout l'opposé de la leur. Ainsi, les opérations qui, dans cette ambassade, dépendaient de moi seul, ont pris pour vous une tournure favorable; mais, chaque fois que le nombre a prévalu, vous avez succombé. Cependant, si j'avais été cru, tout aurait également prospéré; et moi qui, pour mériter votre estime, donnais de l'or, tandis que je voyais d'autres en recevoir, n'aurais-je pas, à moins d'être un misérable fou, préféré le double avantage de ne

ἐξομοσάμενον.	ayant-donné-ma-démission.
Ἐπεί, εἰ μὴ	Car, si *ce n'eût été*
διὰ τὸ βούλεσθαι	par le vouloir (parce que je voulais)
σῶσαι τούτους, ἀπολοίμην	sauver eux, que je périsse,
ἐξώλης	mourant-hors *de ma patrie*,
καὶ προώλης,	et mourant-avant-le-temps,
εἰ ἐπρέσβευσα	si j'avais rempli-une-mission
μετὰ τούτων,	avec ces *hommes*,
καὶ προσλαβών γε ἂν	même ayant reçu
πάνυ πολὺ ἀργύριον.	tout-à-fait beaucoup d'argent.
Σημεῖον δέ·	Et la preuve, *la voici :*
ὑμῶν γὰρ χειροτονησάντων δίς	c'est que, vous ayant choisi deux-fois
με ἐπὶ τὴν τρίτην πρεσβείαν,	moi pour la troisième députation,
ἐξωμοσάμην δίς.	je refusai-avec-serment deux-fois.
Καὶ παρὰ ταύτην τὴν ἀποδημίαν,	Et pendant ce voyage,
ἔπραττον πάντα	je faisais toutes choses
τὰ ἐναντία τούτοις.	contraires à eux (à leur conduite.)
Ὧν μὲν τοίνυν ἐγὼ ἦν	Donc, *les affaires* dont j'étais
αὐτοκράτωρ	l'arbitre-absolu
κατὰ τὴν πρεσβείαν,	dans l'ambassade,
ἔσχεν ὑμῖν τοῦτον τὸν τρόπον·	eurent pour vous cette tournure-là;
ἃ δὲ οὗτοι	mais *celles* pour lesquelles ces *hom-*
ἐνίκων	*me* vainquaient, [*mes*
ὄντες	étant (parce qu'ils étaient)
πλείους,	plus nombreux,
ἅπαντα ἀπολώλεκεν.	toutes ont été perdues.
Καίτοι καὶ πάντα τὰ ἄλλα	Cependant même toutes les autres
ἂν ἐπέπραχτο	auraient été faites
ἀκολούθως τούτοις,	semblablement à celles-là,
εἴ τις ἐπείθετό μοι.	si quelqu'un *en* avait cru moi.
Ἔγωγε γὰρ οὐκ ἦν	Car je n'étais certainement pas
ἄθλιος οὐδὲ ἄφρων	misérable ni fou [gent,
οὕτως ὥστε διδόναι μὲν χρήματα,	au point de donner d'une part de l'ar-
ὁρῶν ἑτέρους λαμβάνοντας,	voyant d'autres *en* recevant,
ὑπὲρ τῆς φιλοτιμίας	*en donner* par point-d'honneur
πρὸς ὑμᾶς,	pour vous, [d'autre part
ἠβουλόμην δὲ	et je voulais (et au point de vouloir)
ταῦτα οὐ γίγνεσθαι,	ces *affaires* ne pas réussir,
ἃ οἷά τε ἦν μὲν	lesquelles étaient susceptibles
πραχθῆναι ἄνευ δαπάνης,	d'être exécutées sans dépense,

πολλῷ δὲ μείζονας ὠφελείας εἶχε πάσῃ τῇ πόλει, ταῦτ' οὐκ ἠβουλόμην γίγνεσθαι. Καὶ σφόδρα γε, ὦ ἄνδρες Ἀθηναῖοι. Ἀλλ', οἶμαι, περιῆσαν οὗτοί μου.

Φέρε δή, τί τούτῳ πέπρακται, παρὰ ταῦτα, καὶ τί τῷ Φιλοκράτει, θεάσασθε. Παράλληλα γὰρ ἔσται φανερώτερα. Πρῶτον μὲν τοίνυν Φωκέας ἐκσπόνδους καὶ Ἁλεῖς ἀπέφηναν, καὶ Κερσοβλέπτην, παρὰ τὸ ψήφισμα, καὶ τὰ πρὸς ὑμᾶς εἰρημένα. Εἶτα τὸ ψήφισμα ἐπεχείρησαν κινεῖν, καὶ μεταίρειν, ἐφ' ᾧ πρεσβεύοντες ἤκομεν. Εἶτα Καρδιανοὺς Φιλίππῳ συμμάχους ἐνέγραψαν. Καὶ τὴν μὲν γραφεῖσαν ἐπιστολὴν ὑπ' ἐμοῦ πρὸς ὑμᾶς, ἀπεψηφίσαντο μὴ πέμπειν· αὐτοὶ δ' οὐδοτιοῦν ὑγιὲς γράψαντες ἔπεμψαν. Εἶθ' ὁ γενναῖος οὑτοσί, ἐμὲ μὲν τὸν δῆμον ἔφη τὸν ὑμέτερον καταλύσειν ἐπηγγέλθαι Φιλίππῳ, ὅτι ταῦτ' ἐπέ-

rien dépenser, et d'être beaucoup plus utile à la République entière? Oui, Athéniens, je l'aurais préféré; mais, croyez-moi, il fallait céder au nombre!

A ma conduite opposez celle d'Eschine et de Philocrate : la lumière jaillira de ce parallèle. D'abord, ils ont exclu du traité la Phocide, les Haliens et Kersobleptès, au mépris de votre décret, au mépris des promesses que vous aviez reçues. Ils ont ensuite entrepris d'ébranler, de fausser la décision qui fixait notre mandat. Ce n'est pas tout: ils ont inscrit, dans le traité, les Cardiens comme alliés de Philippe, décidé que ma lettre au peuple athénien ne partirait pas, expédié des messages qui ne contenaient pas une vérité. Et, après cela, parce que je flétrissais leur conduite, où je voyais non-seulement de l'opprobre, mais le danger d'être entraîné dans leur perte, ce loyal citoyen ose dire que j'avais promis à Philippe de détruire votre démo-

εἶχε δὲ
ὠφελείας πολλῷ μείζονας
τῇ πόλει πάσῃ.
Καὶ σφόδρα γε,
ὦ ἄνδρες Ἀθηναῖοι.
Ἀλλά, οἶμαι,
οὗτοι περιῆσάν μου.
Φέρε δή, θεάσασθε
παρὰ ταῦτα,
τί πέπρακται
τούτῳ,
καὶ τί τῷ Φιλοκράτει.
Παράλληλα γὰρ
ἔσται φανερώτερα.
Πρῶτον μὲν τοίνυν,
παρὰ τὸ ψήφισμα
καὶ τὰ εἰρημένα πρὸς ὑμᾶς,
ἀπέφηναν ἐκσπόνδους
Φωκέας καὶ Ἁλεῖς
καὶ Κερσοβλέπτην.
Εἶτα ἐπεχείρησαν κινεῖν
καὶ μεταίρειν τὸ ψήφισμα
ἐπὶ ᾧ ἤκομεν
πρεσβεύοντες.
Εἶτα ἐνέγραψαν
Καρδιανοὺς
συμμάχους Φιλίππῳ.
Καὶ ἀπεψηφίσαντο
μὴ πέμπειν
τὴν μὲν ἐπιστολὴν γραφεῖσαν
ὑπὸ ἐμοῦ πρὸς ὑμᾶς·
αὐτοὶ δὲ
γράψαντες οὐδοτιοῦν ὑγιὲς
ἔπεμψαν.
Εἶτα οὑτοσὶ ὁ γενναῖος
ἔφη ἐμὲ μὲν ἐπηγγέλθαι Φιλίππῳ
καταλύσειν
τὸν δῆμον τὸν ὑμέτερον,
ὅτι ἐπέπληττον
ταῦτα,

et avaient (apportaient)
des avantages beaucoup plus grand
à la République entière.
Et tout-à-fait certes,
ô hommes Athéniens.
Mais, je *le* crois,
ces *hommes* débordaient moi.
Allons, examinez
près de ces *faits*,
quelle chose a été exécutée
par cet *homme*,
et quelle par Philocrate.
Car, rapprochés-les-uns-des-autres
les faits seront plus manifestes.
Or, premièrement,
contrairement au décret
et aux *promesses* dites à vous,
ils déclarèrent exclus-du-traité
Phocidiens et Haliens
et Kersobleptès.
Ensuite ils s'efforcèrent d'ébranler
et de transposer le décret
en-vertu-duquel nous allions
faisant-fonctions-de-députés.
Après-cela, ils inscrivirent
les habitants-de-Cardia
comme alliés à (de) Philippe.
Et ils décidèrent
de ne pas faire-partir
la lettre écrite
par moi à vous;
et eux-mêmes,
n'ayant écrit rien de vrai
envoyèrent *leur lettre*.
Ensuite, ce *citoyen* généreux
dit *que* j'avais promis à Philippe
de détruire
la démocratie vôtre,
parce que je blâmais-sévèrement
ces faits,

πληττον, οὐ μόνον αἰσχρὰ νομίζων, ἀλλὰ καὶ δεδιώς, μὴ συμπαραπόλωμαι διὰ τούτους, αὐτὸς δὲ ἰδίᾳ πάντα τὸν χρόνον ἐντυγχάνων οὐδοτιοῦν ἐπαύσατο Φιλίππῳ. Καὶ τὰ μὲν ἄλλα σιωπῶ. Δερκύλος δ' αὐτὸν ἐν Φεραῖς τὴν νύκτ' ἐφύλαττεν, οὐκ ἐγώ, τὸν παῖδα ἔχων τὸν ἐμὸν τουτονί. Καὶ λαβὼν ἐξιόντα ἐκ τῆς Φιλίππου σκηνῆς, ἐμοὶ τὸν παῖδα ἐκέλευσεν ἀπαγγέλλειν, καὶ αὐτὸν μεμνῆσθαι, καὶ τὸ τελευταῖον ὁ βδελυρὸς οὑτοσὶ καὶ ἀναιδής, νύκτα καὶ ἡμέραν, ἀπιόντων ἡμῶν, ἀπελείφθη παρὰ Φιλίππῳ. Καὶ ταῦτα ὅτι ἀληθῆ λέγω, πρῶτον μὲν αὐτὸς ἐγὼ συγγραψάμενος, καὶ καταστήσας ἐμαυτὸν ὑπεύθυνον[1], μαρτυρήσω· εἶτα τῶν ἄλλων πρέσβεων ἕκαστον καλῶ, καὶ δυοῖν θάτερον, ἢ μαρτυρεῖν, ἢ ἐξόμνυσθαι ἀναγκάσω. Ἐὰν δ' ἐξομνύωσιν, ἐπιορκοῦντας ἐξελέγξω παρ' ὑμῖν φανερῶς.

cratie, lui qui, pendant le cours de l'ambassade, n'a cessé d'avoir avec Philippe de secrètes entrevues! Je ne citerai qu'un fait. Une nuit (je n'y étais pas), Dercylos prenant avec lui mon esclave que voici, observait Eschine dans la ville de Phères : il le surprit sortant de l'habitation du monarque, recommanda à l'esclave de me l'annoncer et de s'en souvenir lui-même. Enfin, à notre départ, cet impudent, ce pervers eut avec Philippe un tête-à-tête d'un jour et d'une nuit. Pour établir ce que j'avance, j'en présenterai d'abord le témoignage écrit, et sous ma propre responsabilité; ensuite j'interpellerai chacun de mes collègues, et le réduirai à l'alternative ou d'attester le fait, ou de jurer qu'il l'ignore. S'ils protestent devant vous, je mettrai à nu leur parjure.

οὐ μόνον νομίζων αἰσχρά,
ἀλλὰ καὶ δεδιὼς
μὴ συμπαραπόλωμαι
διὰ τούτους,
αὐτὸς δὲ ἐπαύσατο οὐδοτιοῦν
ἐντυγχάνων
Φιλίππῳ
ἰδίᾳ πάντα τὸν χρόνον.
Καὶ σιωπῶ τὰ μὲν ἄλλα.
Δερκύλος δὲ ἐφύλαττεν αὐτὸν
τὴν νύκτα ἐν Φεραῖς,
οὐκ ἐγώ,
ἔχων τὸν παῖδα τὸν ἐμὸν τουτονί.
Καὶ λαβὼν ἐξιόντα
ἐκ τῆς σκηνῆς Φιλίππου,
ἐκέλευσε τὸν παῖδα
ἀπαγγέλλειν ἐμοί,
καὶ αὐτὸν
μεμνῆσθαι,
καὶ τὸ τελευταῖον οὑτοσὶ
ὁ βδελυρὸς καὶ ἀναιδὴς
ἀπελείφθη παρὰ Φιλίππῳ
νύκτα καὶ ἡμέραν,
ἡμῶν ἀπιόντων.
Καὶ ὅτι λέγω
ταῦτα ἀληθῆ,
πρῶτον μὲν
αὐτὸς ἐγὼ μαρτυρήσω
συγγραψάμενος
καὶ καταστήσας
ἐμαυτὸν ὑπεύθυνον·
εἶτα καλῶ ἕκαστον
τῶν ἄλλων πρέσβεων,
καὶ ἀναγκάσω δυοῖν θάτερον,
ἢ μαρτυρεῖν,
ἢ ἐξόμνυσθαι.
Ἐὰν δὲ ἐξομνύωσιν,
ἐξελέγξω φανερῶς
παρὰ ὑμῖν
ἐπιορκοῦντας.

non-seulement *les* croyant honteux,
mais encore craignant
que je ne périsse-avec *les députés*
à cause d'eux,
et lui, il ne cessa nullement
ayant (d'avoir)-des-entretiens
avec Philippe
en-particulier *pendant* tout le temps.
Et je tais les autres faits.
Mais Dercylos guettait lui
une nuit, dans Phères, [tais),
non moi (ce n'est pas moi qui le guet-
ayant *près de lui* mon esclave que-
Et *l'*ayant surpris sortant [voici.
de l'habitation de Philippe,
il ordonna à l'esclave
de rapporter *ce fait* à moi,
et à lui-même (à l'esclave)
de s'*en* souvenir,
et finalement cet *homme*
infâme et effronté
resta près de Philippe
une nuit et un jour,
nous partant (à notre départ).
Et, *pour prouver* que je dis
en cela la vérité,
premièrement
moi-même je *l'*attesterai
ayant écrit *ma déposition*
et ayant constitué
moi-même responsable ;
ensuite, j'appellerai chacun
des autres ambassadeurs, [l'une,
et je *le* contraindrai de deux choses
ou à attester,
ou à jurer *qu'il ignore.*
Or, s'ils jurent *qu'ils ignorent,*
je convaincrai manifestement
près de vous
eux se parjurant (de s'être parjurés).

ΜΑΡΤΥΡΙΑ.

Οἵοις μὲν τοίνυν κακοῖς καὶ πράγμασι τὴν ἀποδημίαν ἅπασαν συνεσχόμην, ἑωράκατε. Τί γὰρ αὐτοὺς οἴεσθε ποιεῖν ἐκεῖ, ἐγγὺς ὄντας τοῦ διδόντος, ὅθ' ὑμῶν ὁρώντων, τῶν καὶ τιμῆσαι κυρίων ὄντων, καὶ τοὐναντίον κολάσαι, τοιαῦτα ποιοῦσιν;

Συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημέν' ἀπαρχῆς, ἵν' ὅσα ὑμῖν ὑπεσχόμην ἀρχόμενος τοῦ λόγου, δείξω πεποιηκώς. Ἐπέδειξα οὐδὲν ἀληθὲς ἀπηγγελκότα, ἀλλὰ φενακίσανθ' ὑμᾶς, μάρτυσι τοῖς γεγενημένοις αὐτοῖς, οὐ λόγοις, χρώμενος. Ἐπέδειξα αἴτιον γεγενημένον τοῦ μὴ θέλειν ὑμᾶς ἀκούειν ἐμοῦ τἀληθῆ, ταῖς ὑποσχέσεσι, καὶ τοῖς ἐπαγγέλμασι τοῖς τούτου προκαταληφθέντας τότε· πάντα τἀναντία συμβουλεύσαντα, ἢ ἔδει· καὶ τῇ μὲν τῶν συμμάχων ἀντειπόντα εἰρήνῃ, τῇ δὲ Φιλοκρά-

DÉPOSITION.

Vous avez vu quelles peines, quelles tracasseries m'ont poursuivi durant tout notre voyage. Imaginez, en effet, ce qu'ils ont fait en Macédoine près du distributeur des largesses, puisque ici, devant vous-mêmes, qui pouvez punir aussi bien que récompenser, ils agissent comme vous voyez.

Je vais rassembler tous les griefs produits jusqu'à présent; on verra que j'ai rempli tout ce que promettait le commencement de ce discours. J'ai démontré, non par des mots, mais par le témoignage des faits, que le rapport d'Eschine n'était qu'un long mensonge, et qu'il vous a joués. J'ai démontré que, par l'illusion de ses annonces et de ses promesses empressées, il a fermé vos oreilles aux vérités que je vous offrais; qu'il ne vous a conseillés que pour votre ruine; qu'il a traversé le projet de paix qui embrassait les alliés, et secondé

MARTYRIA.	DÉPOSITION.
Ἑωράκατε μὲν τοίνυν	Vous avez donc vu
οἵοις κακοῖς καὶ πράγμασι	de quels maux et de *quelles* difficultés
συνεσχόμην	je fus pressé
ἅπασαν τὴν ἀποδημίαν.	*pendant* tout le voyage.
Τί γὰρ	Quelle chose, en effet,
οἴεσθε αὐτοὺς ποιεῖν	pensez-vous *qu'*ils faisaient
ἐκεῖ, ὄντας ἐγγὺς τοῦ διδόντος,	là, étant près du donneur,
ὅτε ποιοῦσι τοιαῦτα,	lorsqu'ils commettent de tels *actes*,
ὑμῶν ὁρώντων,	vous *les* voyant,
τῶν ὄντων κυρίων	*vous* qui êtes maîtres
καὶ τιμῆσαι,	et de récompenser,
καὶ τὸ ἐναντίον κολάσαι;	et au contraire de punir?
Βούλομαι δὴ συλλογίσασθαι	Or, je veux résumer
τὰ κατηγορημένα	les accusations
ἀπὸ ἀρχῆς,	à-partir du commencement,
ἵνα δείξω	afin que je prouve
πεποιηκὼς	ayant (que j'ai) fait
ὅσα ὑπεσχόμην ὑμῖν	tout-ce-que je promis à vous
ἀρχόμενος τοῦ λόγου.	en commençant le discours.
Ἐπέδειξα	J'ai montré *Eschine*
ἀπηγγελκότα οὐδὲν ἀληθές,	ne rapportant rien de vrai,
ἀλλὰ φενακίσαντα ὑμᾶς,	mais faisant-illusion à vous,
χρώμενος	*je l'ai montré* en employant
μάρτυσιν	comme témoins
αὐτοῖς τοῖς γεγενημένοις,	les faits eux-mêmes,
οὐ λόγοις.	*et* non des paroles.
Ἐπέδειξα γεγενημένον αἴτιον	Je *l'*ai montré devenu cause [de)
τοῦ ὑμᾶς μὴ ἐθέλειν	du vous ne pas vouloir (de votre refus
ἀκούειν ἐμοῦ τὰ ἀληθῆ,	entendre de moi la vérité,
προκαταληφθέντας τότε	prévenus *que vous étiez* alors
ταῖς ὑποσχέσεσι	par les promesses
καὶ τοῖς ἐπαγγέλμασι	et les engagements
τοῖς τούτου·	de cet *homme;*
συμβουλεύσαντα	*vous* conseillant
πάντα τὰ ἐναντία ἢ ἔδει·	tout le contraire *de ce* qu'il fallait;
καὶ ἀντειπόντα μὲν	et s'opposant d'une part
τῇ εἰρήνῃ τῶν συμμάχων,	au traité-de-paix des alliés,
συναγορεύσαντα δὲ	et, d'autre part, parlant-pour

τους συναγορεύσαντα· τοὺς χρόνους κατατρίψαντα, ἵνα μηδ' εἰ βούλοισθε, δύναισθ' ἐξελθεῖν εἰς Φωκέας· καὶ ἄλλα ἐπὶ τῆς ἀποδημίας πολλὰ καὶ δεινὰ εἰργασμένον, προδεδωκότα πάντα καὶ πεπρακότα, δῶρα ἔχοντα, οὐδὲν ἐλλελοιπότα μοχθηρίας. Οὐκοῦν ταῦτα ὑπεσχόμην ἐν ἀρχῇ, ταῦτα καὶ ἐπέδειξα. Ὁρᾶτε τοίνυν τὰ μετὰ ταῦτα. Ἁπλοῦς γάρ ἐστιν ὁ μέλλων λόγος οὑτοσὶ πρὸς ὑμᾶς ἤδη. Ὠμωμόκατε ψηφιεῖσθαι κατὰ τοὺς νόμους, καὶ τὰ ψηφίσματα τοῦ δήμου καὶ τῆς βουλῆς τῶν Πεντακοσίων. Φαίνεται δ' οὗτος πάντα τἀναντία τοῖς νόμοις, τοῖς ψηφίσμασι, τοῖς δικαίοις πεπρεσβευκώς. Οὐκοῦν ἡλωκέναι προσήκει, παρά γε νοῦν ἔχουσι δικασταῖς.

Εἰ γὰρ ἄλλο μηδὲν ἠδίκει, δύο τῶν πεπραγμένων ἱκανά ἐστιν αὐτὸν ἀποκτεῖναι. Οὐ γὰρ μόνον Φωκέας, ἀλλὰ καὶ Θράκην προδέδωκε Φιλίππῳ· καίτοι δύο χρησιμωτέρους τόπους τῆς οἰ-

celui de Philocrate ; qu'il a perdu assez de temps pour que vous ne pussiez marcher au secours des Phocidiens, quand même vous l'auriez voulu ; que, dans le cours de l'ambassade, il s'est livré à cent autres coupables manœuvres, livrant tout, vendant tout, recevant de l'or, épuisant toutes les perfidies. Voilà ce que mes premières paroles avaient annoncé, voilà ce que j'ai prouvé. Ma conclusion sera très-simple : la voici. Vous avez juré de prononcer d'après les lois, d'après les décrets du peuple et du Conseil des Cinq-Cents : lois, décrets, droits de la patrie, Eschine est convaincu d'avoir tout violé dans son ambassade : pour être conséquent, le tribunal doit donc le condamner.

Fût-il innocent sur tout le reste, il existe deux faits pour lesquels il mérite la mort. Ce n'est pas seulement la Phocide, c'est encore la Thrace qu'il a livrée à Philippe. Est-il au monde deux postes plus

τῇ Φιλοκράτους·
κατατρίψαντα τοὺς χρόνους,
ἵνα μηδὲ δύναισθε ἐξελθεῖν
εἰς Φωκέας,
εἰ βούλοισθε·
καὶ εἰργασμένον
ἐπὶ τῆς ἀποδημίας
πολλὰ ἄλλα καὶ δεινά,
προδεδωκότα
καὶ πεπρακότα πάντα,
ἔχοντα δῶρα,
ἐλλελοιπότα οὐδὲν μοχθηρίας.
Οὐκοῦν ὑπεσχόμην ταῦτα
ἐν ἀρχῇ,
καὶ ἐπέδειξα ταῦτα.
Ὁρᾶτε τοίνυν
τὰ μετὰ ταῦτα.
Ὁ γὰρ λόγος οὑτοσὶ μέλλων
ἤδη πρὸς ὑμᾶς ἐστιν ἁπλοῦς.
Ὀμωμόκατε
ψηφιεῖσθαι
κατὰ τοὺς νόμους,
καὶ τὰ ψηφίσματα τοῦ δήμου
καὶ τῆς βουλῆς τῶν Πεντακοσίων.
Οὗτος δὲ
φαίνεται
πεπρεσβευκὼς
πάντα τὰ ἐναντία τοῖς νόμοις,
τοῖς ψηφίσμασι, τοῖς δικαίοις.
Οὐκοῦν προσήκει ἡλωκέναι,
παρά γε δικασταῖς
ἔχουσι νοῦν.
Εἰ γὰρ ἠδίκει
μηδὲν ἄλλο,
δύο τῶν πεπραγμένων
ἐστὶν ἱκανὰ ἀποκτεῖναι αὐτόν.
Προδέδωκε γὰρ Φιλίππῳ
οὐ μόνον Φωκέας,
ἀλλὰ καὶ Θράκην·
καίτοι οὐδεὶς ἂν ἐπιδείξαι

celui de Philocrate;
dissipant le temps,
pour que vous ne pussiez pas sortir
chez les Phocidiens,
si vous *le* vouliez;
et faisant
pendant le voyage
beaucoup *d'actes* autres et très-coupables,
livrant
et vendant tout,
ayant des présents,
ne négligeant aucune *action* de perversité.
Donc je promis cela
au commencement
et j'ai démontré cela.
Or voyez
ce *qui vient* après cela (la conclusion).
Car ce discours devant *être dit*
maintenant à vous, est simple.
Vous avez juré
de donner-les-suffrages
conformément aux lois,
et aux décrets du peuple
et du Conseil des Cinq Cents.
Or cet *homme*
paraît-évidemment
ayant (avoir) exécuté-dans-l'ambassade
toutes choses contraires aux lois,
aux décrets, aux droits.
Donc il convient *qu'*il soit condamné,
du moins devant des juges
qui ont du raisonnement.
Car si *même* il n'avait été-injuste
en aucune autre chose,
deux de ses actes
sont suffisants pour faire-mourir lui.
Il a livré, en effet, à Philippe
non-seulement les Phocidiens,
mais encore la Thrace;
toutefois personne ne montrerait

κουμένης οὐδ' ἂν εἷς ἐπιδείξαι τῇ πόλει, κατὰ μὲν γῆν, Πυλῶν, ἐκ θαλάττης δέ, τοῦ Ἑλλησπόντου. Ἃ συναμφότερα οὗτοι πεπράκασιν αἰσχρῶς, καὶ καθ' ὑμῶν ἐγχειρίκασι Φιλίππῳ. Τοῦτο τοίνυν αὐτό, ἄνευ τῶν ἄλλων, ἡλίκον ἐστὶν ἀδίκημα, τὸ Θράκην καὶ τὰ τείχη προέσθαι, μυρί' ἂν εἴη λέγειν, καί, ὅσοι διὰ ταῦτα ἀπολώλασι παρ' ὑμῖν, οἱ δὲ χρήματα πάμπολλ' ὠφλήκασιν, οὐ χαλεπὸν δεῖξαι, Ἐργόφιλος, Κηφισόδοτος, Τιμόμαχος, τοπαλαιόν ποτε Ἐργοκλῆς, Διονύσιος, ἄλλοι[1], οὓς ὀλίγου δέω σύμπαντας εἰπεῖν ἐλάττω τὴν πόλιν βεβλαφέναι τούτου. Ἀλλ' ἔτι γὰρ τότε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐκ λογισμοῦ τὰ δεινὰ ἐφυλάττεσθ' ὑμεῖς καὶ προεωρᾶσθε. Νῦν δ' ὅ τι ἂν μὴ καθ' ἡμέραν ὑμᾶς ἐνοχλῇ, καὶ παρον λυπῇ, παρορᾶτε. Εἶτα τηνάλλως

utiles à Athènes que les Thermopyles sur terre, et l'Hellespont sur mer? Par un infâme marché, les députés les ont vendus l'un et l'autre; ils en ont armé Philippe contre vous. Quel crime surtout, même considéré seul, quel crime que l'abandon de la Thrace et de ses forteresses! On pourrait citer mille exemples de citoyens qu'une telle forfaiture a menés à la mort; et, pour ceux qui ont subi de fortes amendes, il n'est pas difficile d'en citer : Ergophile, Céphisodote, Timomaque; plus anciennement, Ergoclès, Denys et d'autres, qu'on peut dire avoir moins nui tous ensemble à l'État, que l'accusé. C'est qu'alors, ô Athéniens, la réflexion vous faisait prévoir et prévenir de pareilles disgrâces; maintenant, si l'outrage ne vient vous frapper chaque jour, vous y êtes insensibles. De là votre impuissance

δύο τόπους τῆς οἰκουμένης
χρησιμωτέρους τῇ πόλει,
Πυλῶν μὲν κατὰ γῆν,
τοῦ δὲ Ἑλλησπόντου ἐκ θαλάττης.
Ἃ συναμφότερα
οὗτοι πεπράκασιν αἰσχρῶς
καὶ ἐγχεχειρίκασι Φιλίππῳ
κατὰ ὑμῶν.
Εἴη ἂν τοίνυν
λέγειν μυρία,
ἡλίκον
τοῦτο ἀδίκημα αὐτό ἐστιν,
ἄνευ τῶν ἄλλων,
τὸ προέσθαι Θράκην
καὶ τὰ τείχη,
καὶ οὐ χαλεπὸν
δεῖξαι ὅσοι διὰ ταῦτα
ἀπολώλασι παρὰ ὑμῖν,
οἱ δὲ
ὠφλήκασι
χρήματα πάμπολλα,
Ἐργόφιλος, Κηφισόδοτος,
Τιμόμαχος,
τοπαλαιόν ποτε Ἐργοκλῆς,
Διονύσιος, ἄλλοι,
οὓς ὀλίγου δέω εἰπεῖν
βεβλαφέναι τὴν πόλιν
σύμπαντας
ἐλάττω τούτου.
Ἀλλά, ὦ ἄνδρες Ἀθηναῖοι,
τότε γὰρ ἔτι
ἐκ λογισμοῦ ὑμεῖς ἐφυλάττεσθε
καὶ προεωρᾶσθε τὰ δεινά.
Νῦν δὲ
παρορᾶτε
ὅ τι ἂν μὴ ἐνοχλῇ
ὑμᾶς κατὰ ἡμέραν,
καὶ λυπῇ
παρόν.
Εἶτα τηνάλλως

deux lieux du *monde* habité
plus utiles à la République
que les Thermopyles sur terre,
et l'Hellespont du côté de la mer.
Lesquels deux-*lieux*-à-la-fois [ment
ces *hommes* ont vendus honteuse-
et ont remis-aux-mains-de Philippe
contre vous.
Or il serait *possible*
de citer dix-mille *exemples*,
combien-grand
ce tort, à-lui-seul, est,
sans les autres, *à savoir*,
avoir livré la Thrace
et les forteresses,
et il ne *serait* pas difficile
de citer tous-ceux-qui, pour cela,
ont été mis-à-mort chez vous,
et d'autres
ont été condamnés-à-payer
des amendes très-considérables,
savoir, Ergophile, Céphisodote,
Timomaque,
anciennement Ergoclès,
Denys, *et* d'autres,
lesquels peut s'en faut *que* je ne dise
avoir blessé la République
tous-ensemble
moins que celui-ci.
Mais, ô hommes Athéniens,
c'est que, alors encore,
par réflexion vous évitiez
et vous prévoyiez les malheurs.
Aujourd'hui, au contraire,
vous voyez-avec-indifférence
ce qui n'importunerait pas
vous au-jour-le-jour,
et *ce qui ne vous* attristerait *pas*
comme actuel.
Aussi, vainement

ἐνταῦθα ψηφίζεσθε· ἀποδοῦναι δὲ καὶ Κερσοβλέπτῃ τὸν Φίλιπ-
πον τοὺς ὅρκους· μὴ μετέχειν δὲ τῶν ἐν Ἀμφικτύοσιν· ἐπανορ-
θώσασθαι δὲ τὴν εἰρήνην. Καίτοι τούτων οὐδενὸς ἂν τῶν ψηφι-
σμάτων ἔδει, εἰ πλεῖν οὗτος ἤθελε, καὶ τὰ προσήκοντα ποιεῖν.
Νῦν δ' ἃ μὲν ἦν πλεύσασι σῶσαι, βαδίζειν κελεύων, ἀπολώλε-
κεν· ἃ δ' εἰποῦσι τἀληθῆ, ψευδόμενος.

Ἀγανακτήσει τοίνυν αὐτίκα δὴ μάλα, ὡς ἐγὼ πυνθάνομαι, εἰ
μόνος τῶν ἐν τῷ δήμῳ λεγόντων, λόγων εὐθύνας ὑφέξει. Ἐγὼ
δ', ὅτι μὲν πάντες εἰκότως ἂν ὧν λέγουσι δίκην ὑπέχοιεν, εἴπερ
ἐπ' ἀργυρίῳ τι λέγοιεν, παραλείψω. Ἀλλ' ἐκεῖνο λέγω· εἰ μὲν
Αἰσχίνης ἰδιώτης ὢν ἀπελήρησέ τι καὶ διήμαρτε, μὴ σφόδρ'

quand vous décrétez : *Philippe laissera Kersobleptès prêter ser-
ment au traité; Philippe n'aura pas rang parmi les Amphic-
tyons; les stipulations de la paix seront amendées.* Décrets dont
pas un n'eût été nécessaire, si Eschine eût voulu s'embarquer et
faire son devoir. Loin de là, on pouvait sauver vos domaines par
une courte navigation : et il a prescrit la route de terre; par des rap-
ports véridiques : et il a menti!

Il va s'indigner, j'en suis prévenu, d'être le seul des orateurs qu'on
oblige à rendre compte de ses paroles. Je n'examinerai point s'il ne
serait pas juste de rechercher, pour ses paroles, quiconque en a fait
métier et marchandise; mais je dis: Si Eschine, simple orateur, s'est
égaré dans ses raisonnements, pas de sévérité, pas de minutieux

ψηφίζεσθε ἐνταῦθα·
τὸν δὲ Φίλιππον
ἀποδοῦναι τοὺς ὅρκους
καὶ Κερσοβλέπτῃ·
μὴ μετέχειν δὲ
τῶν ἐν Ἀμφικτύοσιν·
ἐπανορθώσασθαι δὲ
τὴν εἰρήνην.
Καίτοι ἂν ἑῶεἰ
οὐδενὸς τούτων τῶν ψηφισμάτων,
εἰ οὗτος ἤθελε πλεῖν
καὶ ποιεῖν τὰ προσήκοντα.
Νῦν δὲ ἀπολώλεκε
ἃ μὲν ἦν σῶσαι
πλεύσασι,
κελεύων
βαδίζειν·
ἃ δὲ
εἰποῦσι τὰ ἀληθῆ,
ψευδόμενος.
Ἀγανακτήσει τοίνυν
αὐτίκα δὴ μάλα,
ὡς ἐγὼ πυνθάνομαι,
εἰ μόνος
τῶν λεγόντων ἐν τῷ δήμῳ,
ὑφέξει εὐθύνας
λόγων.
Ἐγὼ δὲ
παραλείψω
ὅτι μὲν πάντες εἰκότως
ἂν ὑπέχοιεν
δίκην
ὧν λέγουσιν,
εἴπερ λέγοιέν τι ἐπὶ ἀργυρίῳ.
Ἀλλὰ λέγω ἐκεῖνο·
εἰ μὲν Αἰσχίνης
ὢν ἰδιώτης
ἀπελήρησέ τι
καὶ διήμαρτε,
μὴ ἀκριβολογήσησθε

vous décrétez alors *ceci :*
que Philippe
déférera le serment
aussi à Kersobleptès ;
qu'il ne participe point [phictyons :
aux *délibérations* parmi les Am-
qu'il modifiera-par-amendements
le traité-de-paix.
Cependant il *ne* serait-besoin
d'aucun de ces décrets,
si cet *homme* eût voulu s'embarquer
et faire les choses convenables.
Maintenant, au contraire, il a perdu
ce qu'il était *possible* de sauver
à *eux* naviguant (s'ils s'étaient embar-
en ordonnant [qués),
de marcher (d'aller par voie de terre) ;
ce qu'*il était possible de sauver*
à *eux* disant (s'ils avaient dit) la véri-
il a perdu cela en mentant. [té,
Or *Eschine* s'indignera
très-prochainement,
comme je *l'*apprends,
si (de ce que), seul
de ceux qui parlent devant le peuple,
il soumettra *des* comptes
de *ses* discours.
Pour moi,
je laisserai-de côté (je ne dirai pas)
que tous avec-raison
donneraient [ce)
justice (rendraient compte en justi-
de *ce* qu'ils disent, [l'argent.
s'ils disaient quelque chose pour de
Mais je dis ceci :
si Eschine,
étant simple-particulier,
a erré en quelque chose,
et *s'*il s'est trompé,
n'examinez-pas-minutieusement

ἀκριβολογήσησθε, ἐάσατε, συγγνώμην ἔχετε. Εἰ δὲ πρεσβευτὴς ὢν ἐπὶ χρήμασιν ἐξεπίτηδες ἐξηπάτηκεν ὑμᾶς, μὴ ἀφῆτε, μηδ' ἀνάσχησθε, ὡς οὐ δεῖ δίκην, ὧν εἶπεν, ὑποσχεῖν. Τίνος γὰρ ἄλλου δεῖ δίκην παρὰ πρέσβεων, ἢ λόγων, λαμβάνειν; εἰσὶ γὰρ οἱ πρέσβεις, οὐ τριήρων, οὐδὲ τόπων, οὐδ' ὁπλιτῶν, οὐδ' ἀκροπόλεων κύριοι (οὐδεὶς γὰρ πρέσβεσι ταῦτ' ἐγχειρίζει), ἀλλὰ λόγων καὶ χρόνων. Τοὺς μὲν οὖν χρόνους εἰ μὲν μὴ προανεῖλε τῆς πόλεως, οὐκ ἀδικεῖ· εἰ δ' ἀνεῖλεν, ἠδίκηκε. Τοὺς δὲ λόγους εἰ μὲν ἀληθεῖς ἀπήγγελκεν, ἢ συμφέροντας, ἀποφευγέτω· εἰ δὲ καὶ ψευδεῖς, καὶ μισθοῦ, καὶ ἀσυμφόρους, ἁλισκέσθω. Οὐδὲν γὰρ ἔσθ' ὅ τι μεῖζον ἂν ὑμᾶς ἀδικήσειέ τις, ἢ ψευδῆ λέγων. Οἷς γάρ ἐστιν ἐν λόγοις ἡ πολιτεία, πῶς, ἂν οὗτοι μὴ ἀληθεῖς ὦσιν,

examen, mais liberté, mais indulgence! Si, au contraire, député d'Athènes, il s'est fait payer exprès pour vous tromper, point de grâce, point de concession à cette prétention de ne pas répondre de ses discours! Eh! sur quoi porterait donc la responsabilité d'un ambassadeur? Ce dont il dispose, ce ne sont ni vaisseaux, ni places, ni soldats, ni citadelles, puisqu'on ne les remet pas dans ses mains: c'est le temps, ce sont les paroles. Le temps! si Eschine ne l'a point fait perdre traîtreusement à la République, il est innocent; il est coupable, s'il l'a dissipé. Les paroles! grâce, si, dans les rapports, les siennes ont été véridiques et salutaires; mais, si elles furent mensongères, vénales, pernicieuses, condamnation! car le plus grand tort qu'on puisse vous faire, c'est de vous déguiser la vérité. Où sera, en effet, le point d'appui d'un gouvernement fondé sur la pa-

σφόδρα,
ἐάσατε, ἔχετε συγγνώμην.
Εἰ δὲ ὢν πρεσβευτὴς
ἐξηπάτηκεν ὑμᾶς ἐξεπίτηδες
ἐπὶ χρήμασι, μὴ ἀφῆτε,
μηδὲ ἀνάσχησθε ὡς οὐ δεῖ
ὑποσχεῖν δίκην
ὧν εἶπεν.
Τίνος γὰρ ἄλλου δεῖ
λαμβάνειν δίκην παρὰ πρέσβεων,
ἢ λόγων;
οἱ γὰρ πρέσβεις
εἰσὶ κύριοι, οὐ τριήρων,
οὐδὲ τόπων, οὐδὲ ὁπλιτῶν,
οὐδὲ ἀκροπόλεων (οὐδεὶς γὰρ
ἐγχειρίζει πρέσβεσι
ταῦτα),
ἀλλὰ λόγων καὶ χρόνων.
Εἰ μὲν οὖν
μὴ προανεῖλε
τῆς πόλεως τοὺς μὲν χρόνους,
οὐκ ἀδικεῖ·
εἰ δὲ ἀνεῖλεν,
ἠδίκηκεν.
Εἰ δὲ ἀπήγγελκε μὲν
τοὺς λόγους ἀληθεῖς
ἢ συμφέροντας, ἀποφευγέτω·
εἰ δὲ καὶ
ψευδεῖς,
καὶ μισθοῦ,
καὶ ἀσυμφόρους,
ἁλισκέσθω.
Οὐδὲν γὰρ ἔστιν
ὅ τι τις ἂν ἀδικήσειεν ὑμᾶς
μεῖζον, ἢ λέγων ψευδῆ.
Πῶς γὰρ
πολιτεύεσθαι ἀσφαλῶς
ἔστιν οἷς
ἡ πολιτεία
ἐστὶν ἐν λόγοις,

à l'excès,
laissez, ayez de l'indulgence.
Mais si, étant ambassadeur,
il a trompé vous exprès
pour de l'argent, ne *l'*absolvez point,
et n'admettez pas qu'il ne faut point
*qu'*il rende compte-en-justice
de *ce* qu'il a dit.
Car de quelle autre chose faut-il
recevoir des comptes des députés,
que de *leurs* discours?
les députés, en effet,
sont maîtres, non des trirèmes,
ni des lieux, ni des hoplites,
ni des citadelles (nul, en effet,
ne remet-aux-mains des députés
ces choses),
mais de *leurs* discours et du temps.
Si donc *Eschine*
ne s'est point hâté-d'enlever
à la République les moments,
il ne commet-pas-d'injustice;
mais, s'il *les* a enlevés,
il a fait-tort *à Athènes.*
S'il a prononcé-dans-ses-rapports
des paroles véridiques [*nation;*
ou utiles, qu'il échappe *à la condam-*
mais s'*il a prononcé*
des paroles mensongères,
et pour récompense (et salariées),
et nuisibles,
qu'il soit condamné.
Car rien n'est
en quoi on puisse nuire à vous
plus, qu'en disant des choses fausses.
Comment, en effet,
être gouvernés sûrement
est-il *possible à ceux* chez qui
le gouvernement [de l'éloquence),
est en discours (roule sur la puissance

ἀσφαλῶς ἔστι πολιτεύεσθαι; Ἐὰν δὲ δὴ καὶ πρὸς ἃ τοῖς ἐχθροῖς συμφέρει, δῶρά τις λαμβάνων λέγῃ, πῶς οὐχὶ καὶ κινδυνεύσετε; Οὐδέ γε τοὺς χρόνους ἴσον ἔστ' ἀδίκημα ὀλιγαρχίας, ἢ τυράννου παρελέσθαι, καὶ ὑμῶν· οὐδ' ὀλίγου γε δεῖ. Ἐν ἐκείναις γάρ, οἶμαι, ταῖς πολιτείαις, πάντ' ἐξ ἐπιτάγματος ὀξέως γίγνεται. Ὑμῖν δέ, πρῶτον μὲν περὶ πάντων τὴν βουλὴν ἀκοῦσαι, καὶ προβουλεῦσαι δεῖ, καὶ τοῦθ', ὅταν ᾖ κήρυξι καὶ πρεσβείαις προγεγραμμένον, οὐκ ἀεί· εἶτ' ἐκκλησίαν ποιῆσαι, καὶ ταύτην, ὅταν ἐκ τῶν νόμων καθήκῃ· εἶτα κρατῆσαι καὶ περιγενέσθαι δεῖ τοὺς τὰ βέλτιστα λέγοντας, τῶν ἢ δι' ἄγνοιαν, ἢ διὰ μοχθηρίαν ἀντιλεγόντων. Ἐφ' ἅπασι δὲ τούτοις, ἐπειδὰν καὶ δεδογμένον ᾖ, καὶ συμφέρον ᾖ ᾗ φαίνηται, χρόνον δεῖ δοθῆναι τῇ τῶν πολλῶν ἀδυναμίᾳ, ἐν ᾧ καὶ πορισθῶνται ταῦθ', ὧν ἂν δέωνται, ὅπως ἂν τὰ

role, si cette parole n'est pas sincère? Que si, de plus, elle est payée, si elle plaide la cause de l'ennemi, comment n'y aurait-il pas péril? Pour les instants, les enlever à un État oligarchique, à une monarchie, les enlever à votre république, n'est pas crime également funeste; il y a même ici une différence énorme. Dans ces gouvernements, je vois tout s'exécuter vivement par un édit. Chez vous, dans chaque affaire, une première formalité exige que le Conseil, rapport entendu, prépare un décret; et il ne se réunit extraordinairement que pour répondre à un message, à une ambassade. Il faut ensuite qu'il assemble le peuple, et seulement le jour fixé par la loi. Là, les orateurs habiles et dévoués ont à triompher d'une opposition ignorante ou perfide. Ce n'est pas tout : lorsque le parti le plus utile s'est fait jour, lorsqu'il y a décision, il faut attendre que la foule peu aisée se soit mise en mesure d'acquitter les charges nouvellement décré-

ἂν οὗτοι μὴ ὦσιν ἀληθεῖς;
Ἐὰν δὲ δή τις
λαμβάνων δῶρα
λέγῃ καὶ πρὸς
ἃ συμφέρει τοῖς ἐχθροῖς,
πῶς οὐχὶ καὶ κινδυνεύσετε;
Παρελέσθαι τούς γε χρόνους
ὀλιγαρχίας, ἢ τυράννου,
καὶ ὑμῶν,
ἔστιν ἀδίκημα οὐδὲ ἴσον·
οὐδὲ δεῖ ὀλίγου γε.
Ἐν ἐκείναις γὰρ ταῖς πολιτείαις,
πάντα, οἶμαι, γίγνεται
ὀξέως ἐξ ἐπιτάγματος.
Ὑμῖν δέ, δεῖ πρῶτον μὲν
τὴν βουλὴν ἀκοῦσαι
περὶ πάντων,
καὶ προβουλεῦσαι,
καὶ τοῦτο,
ὅταν ᾖ προγεγραμμένον
κήρυξι καὶ πρεσβείαις,
οὐκ ἀεί·
εἶτα
ποιῆσαι ἐκκλησίαν,
καὶ ταύτην,
ὅταν καθήκῃ ἐκ τῶν νόμων·
εἶτα δεῖ
τοὺς λέγοντας τὰ βέλτιστα
κρατῆσαι καὶ περιγενέσθαι
τῶν ἀντιλεγόντων
ἢ διὰ ἄγνοιαν,
ἢ διὰ μοχθηρίαν.
Ἐπὶ ἅπασι δὲ τούτοις,
ἐπειδὰν καὶ ᾖ δεδογμένον,
καὶ φαίνηται ἤδη συμφέρον,
δεῖ χρόνον δοθῆναι
τῇ ἀδυναμίᾳ τῶν πολλῶν,
ἐν ᾧ καὶ πορισῦνται ταῦτα
ὧν ἂν δέωνται
ὅπως ἂν καὶ δυνηθῶσι

si ces *discours* ne sont pas vrais?
Mais si quelqu'un,
recevant *des* présents,
dit, de plus,
ce qui importe aux ennemis,
comment ne serez-vous pas-à-l'-péril?
Enlever les moments
à une oligarchie, ou à un tyran,
et *les enlever* à vous,
est crime non égal;
et il ne s'en faut pas de peu.
Car, dans ces gouvernements,
toutes choses, je crois, se font
vivement par ordre-absolu.
Mais, chez vous, il faut d'abord
que le Conseil entende *des rapports*
sur tous *les sujets*, [naire,
et *qu'*il rende-un-décret-prélimi-
et cela,
lorsqu'il y a eu programme *affiché*
pour des hérauts et des députations,
et non toujours;
*qu'*ensuite [ple,
il fasse *réunir* l'assemblée-du-peu-
et celle-là,
lorsqu'il a été ordonné par les lois;
après, il faut [choses
que ceux qui disent les meilleures
l'emportent, et *qu'*ils vainquent
ceux qui contredisent
ou par ignorance,
ou par perversité.
Après toutes ces *formalités*,
lorsqu'il y a *quelque chose de* décidé,
et *qui* paraît alors utile,
il faut *que* du temps soit accordé
à la faiblesse de la multitude,
pendant lequel elle se procurera ces
dont elle peut avoir besoin [choses
pour qu'elle ait-la-faculté

ὀόξαντα καὶ ὀυνηθῶσι ποιῆσαι. Ὁ ὀὴ τοὺς χρόνους τούτους ἀναιρῶν τῆς, οἵα παρ' ἡμῖν ἐστι, πολιτείας, οὐ χρόνους ἀνῄρηκεν οὗτος, οὔ· ἀλλὰ τὰ πράγμαθ' ἁπλῶς ἀνῄρηται.

Ἔστω τοίνυν τις πρόχειρος λόγος πᾶσι τοῖς ἐξαπατᾷν ὑμᾶς βουλομένοις· « οἱ ταράττοντες τὴν πόλιν, οἱ διακωλύοντες Φίλιππον εὖ ποιῆσαι τὴν πόλιν· » πρὸς οὓς ἐγὼ λόγον μὲν οὐδένα ἐρῶ, τὰς δ' ἐπιστολὰς ὑμῖν ἀναγνώσομαι τὰς τοῦ Φιλίππου, καὶ τοὺς καιρούς, ἐφ' ὧν ἕκαστα ἐξηπάτησθε, ὑπομνήσω, ἵν' εἰδῆθ', ὅτι τὸ ψυχρὸν τοῦτ' ὄνομα, τὸ ἄχρι κόρου, παρελήλυθεν ἐκεῖνος φενακίζων ὑμᾶς.

ΕΠΙΣΤΟΛΑΙ ΦΙΛΙΠΠΟΥ.

Οὕτω τοίνυν αἰσχρά, καὶ πολλά, καὶ πάντα καθ' ὑμῶν πεπρεσβευκώς, περιϊὼν λέγει· « Τί δ' ἂν εἴποι τις περὶ Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ; » Νὴ Δία, εἴτε βούλομαί

tées. Ainsi, faire perdre le temps à un gouvernement tel que le nôtre, ce n'est pas lui dérober des moments, non, c'est lui enlever toute faculté d'agir.

Tous ceux qui veulent vous donner le change ont toujours ces mots à la bouche : *On trouble la République ; on entrave la bienveillance de Philippe pour la nation.* Pour toute réponse, faisons lire les lettres de ce Philippe, et rappelons chacune des circonstances où vous fûtes trompés : vous verrez que ce titre rebattu et fastidieux de bienfaiteur n'est plus, pour lui, qu'un charlatanisme usé.

LETTRES DE PHILIPPE.

Et le député si complétement, si honteusement prévaricateur va partout criant : « Que dites-vous de Démosthène, qui accuse ses collègues ? » Oui, par Jupiter ! bon gré, mal gré, je t'accuse, après

ποιῆσαι τὰ δόξαντα
Ὁ δὴ ἀναιρῶν
τούτους τοὺς χρόνους
τῆς πολιτείας,
οἷα ἐστὶ παρὰ ἡμῖν,
οὗτος οὐκ ἀνῄρηκε
χρόνους, οὔ·
ἀλλὰ ἀνῄρηται
ἁπλῶς τὰ πράγματα.
Τὶς τοίνυν λόγος
ἐστὶ πρόχειρος
πᾶσι τοῖς βουλομένοις
ἐξαπατᾶν ὑμᾶς·
« οἱ ταράττοντες τὴν πόλιν,
οἱ διακωλύοντες Φίλιππον
εὖ ποιῆσαι τὴν πόλιν· »
πρὸς οὓς ἐγὼ ἐρῶ μὲν
οὐδένα λόγον,
ἀναγνώσομαι δὲ ὑμῖν
τὰς ἐπιστολὰς τὰς .οῦ Φιλίππου,
καὶ ὑπομνήσω τοὺς καιροὺς
ἐπὶ ὧν ἐξηπάτησθε
ἕκαστα,
ἵνα εἰδῆτε ὅτι ἐκεῖνος
φενακίζων ὑμᾶς
παρελήλυθε
τοῦτο τὸ ὄνομα,
τὸ ψυχρὸν ἄχρι κόρου.

d'exécuter les décisions.
Donc, celui qui enlève
ces moments
au gouvernement,
tel qu'il est chez nous,
celui-là n'a pas *seulement* ravi
le temps, non ;
mais il a ravi
complétement les moyens-d'agir.
Un certain propos
est toujours-prêt *à être répété*
par tous ceux qui veulent
tromper vous ; *ils disent :*
« les *gens* qui troublent la ville,
les *gens* qui empêchent Philippe
de faire du bien à la ville ; »
à ceux-là moi je ne répondrai
aucun discours,
mais je ferai-lire devant vous
les lettres de Philippe,
et je rappellerai les circonstances
dans lesquelles vous fûtes trompés
sur chaque *point*,
afin que vous sachiez que ce *prince*
en abusant vous
a éludé (a rendu illusoire)
ce titre de *bienfaiteur*,
insipide jusqu'au dégoût.

ΕΠΙΣΤΟΛΑΙ ΦΙΛΙΠΠΟΥ.

Πεπρεσβευκὼς τοινυν
οὕτως αἰσχρά,
καὶ πολλά,
καὶ πάντα κατὰ ὑμῶν,
περιῶν λέγει·
« Τί δέ τις ἂν εἴποι
περὶ Δημοσθένους,
ὃς κατηγορεῖ
τῶν συμπρέσβεων ; »
Νὴ Δία,

LETTRES DE PHILIPPE.

Or, ayant fait-dans-l'ambassade
des *actions* si honteuses,
et nombreuses,
et toutes contre vous,
Eschine, allant-çà-et-là, dit :
« Que dira-t-on
de Démosthène,
qui accuse
des collègues-d'ambassade ? »
Oui, par Jupiter ! *je t'accuse*

γε, εἴτε μή, παρ' ὅλην μὲν τὴν ἀποδημίαν ὑπὸ σοῦ τοιαῦτα ἐπιβεβουλευμένος, δυοῖν δ' αἱρέσεως οὔσης μοι νυνί, ἢ τοιούτων ὄντων τῶν πεπραγμένων δοκεῖν κοινωνεῖν ὑμῖν, ἢ κατηγορεῖν.

Ἐγὼ δ' οὐδὲ συμπεπρεσβευκέναι φημί σοι· πρεσβεύειν μέντοι, σὲ μὲν πολλὰ καὶ δεινά, ἐμαυτὸν δ' ὑπὲρ τούτων τὰ βέλτιστα. Ἀλλὰ Φιλοκράτης σοι συμπεπρέσβευκε, κἀκείνῳ σύ, καὶ Φρύνων. Ὑμεῖς γὰρ ταὐτ' ἐπράττετε, καὶ ταὐτὰ πᾶσιν ὑμῖν ἤρεσκεν. « Ποῦ δ' ἅλες; ποῦ τράπεζαι; ποῦ σπονδαί; » ταῦτα γὰρ τραγῳδεῖ περιϊών, ὥσπερ οὐχὶ τοὺς ἀδικοῦντας τούτων ὄντας προδότας, ἀλλὰ τοὺς τὰ δίκαια ποιοῦντας. Ἐγὼ δ' οἶδ', ὅτι πάντες οἱ πρυτάνεις θύουσιν ἑκάστοτε κοινῇ, καὶ συνδειπνοῦσιν ἀλλήλοις, καὶ συσπένδουσι. Καὶ οὐ διὰ τοῦτο οἱ χρηστοὶ τοὺς

.es piéges perfides que tu as dressés devant tous mes pas; je t'accuse, placé dans l'alternative de paraître complice des attentats de l'ambassade, ou de les dénoncer. Mais moi, ton collègue! non, non. Ta mission a été une mission de crimes; la mienne, une mission de dévouement à la patrie. Ton collègue, Eschine, c'était Philocrate; les collègues de Philocrate, c'était toi, c'était Phrynon : même conduite, mêmes vues vous unissaient tous. « Où sont nos tables, nos repas, nos communes libations? » s'écrie en tous lieux ce tragédien, comme si la rupture de ces liens sacrés était l'œuvre du juste, et non du pervers! Je vois tous les prytanes participer chaque jour aux mêmes immolations, aux mêmes repas, aux mêmes effusions saintes : les

εἴτε βούλομαί γε, εἴτε μή,
ἐπιβεβουλευμένος τοιαῦτα
ὑπὸ σοῦ
παρὰ ὅλην μὲν τὴν ἀποδημίαν,
αἱρέσεως δὲ οὔσης μοι νυνὶ
δυοῖν,
ἢ δοκεῖν κοινωνεῖν ὑμῖν
τῶν πεπραγμένων
ὄντων τοιούτων,
ἢ κατηγορεῖν.
Ἐγὼ δὲ φημὶ
οὐδὲ συμπεπρεσβευκέναι
σοι·
σὲ μὲν μέντοι
πρεσβεύειν
πολλὰ καὶ δεινά,
ἐμαυτὸν δὲ
τὰ βέλτιστα
ὑπὲρ τούτων.
Ἀλλὰ Φιλοκράτης
συμπεπρέσβευκέ σοι,
καὶ σὺ καὶ Φρύνων
ἐκείνῳ.
Ὑμεῖς γὰρ ἐπράττετε τὰ αὐτά,
καὶ τὰ αὐτὰ ἤρεσκε πᾶσιν ὑμῖν.
« Ποῦ δὲ ἅλες;
ποῦ τράπεζαι;
ποῦ σπονδαί; »
ταῦτα γὰρ τραγῳδεῖ
περιιών, ὥςπερ
οὐχὶ τοὺς ἀδικοῦντας
ὄντας προδότας
τούτων,
ἀλλὰ τοὺς ποιοῦντας τὰ δίκαια.
Ἐγὼ δὲ οἶδα
ὅτι πάντες οἱ πρυτάνεις
θύουσιν ἑκάστοτε κοινῇ,
καὶ συνδειπνοῦσιν ἀλλήλοις,
καὶ συσπένδουσι.
Καὶ διὰ τοῦτο οἱ χρηστοὶ

soit que je *le* veuille, soit que non,
ayant été traité-avec-perfidie telle-
par toi [ment
pendant tout le voyage,
et le choix étant à moi maintenant
de deux choses, [vous
ou de paraître être-complice avec
d'actes
qui sont tels,
ou d'accuser.
Mais moi j'affirme
n'avoir pas été collègue-d'ambassade
de toi;
que toi, en effet,
tu faisais-comme-député [bles,
beaucoup de choses et très-coupa-
et moi-même, au contraire,
les meilleures
pour ces *citoyens*.
Mais Philocrate
fut collègue-d'ambassade de toi,
et toi et Phrynon
fûtes collègues d'ambassade de lui.
Car vous faisiez les mêmes choses,
et les mêmes choses plaisaient à vous
« Où *est* le sel? [tous.
où *sont nos* tables?
où *sont nos* libations? »
c'est-là ce qu'il dit-d'un-ton-tragique
allant-çà-et-là, comme-si
non pas les auteurs-d'iniquités
étant (étaient) ceux-qui-violent
ces *symboles d'union*,
mais ceux qui font des *actions* justes.
Moi, je sais
que tous les prytanes
immolent chaque jour en commun,
et soupent les uns avec les autres,
et font-ensemble-des-libations.
Et, pour cela, les bons, *parmi eux*,

πονηροὺς μιμοῦνται, ἀλλ' ἐὰν ἀδικοῦντα λάβωσί τινα αὐτῶν, τῇ βουλῇ καὶ τῷ δήμῳ δηλοῦσιν. Ἡ βουλὴ ταὐτὰ ταῦτα, εἰσιτήρια ἔθυσε, συνειστιάθη. Σπονδῶν, ἱερῶν ἐκοινώνησαν οἱ στρατηγοί, σχεδόν, ὡς εἰπεῖν, αἱ ἀρχαὶ πᾶσαι. Ἆρ' οὖν διὰ ταῦτα τοῖς ἀδικοῦσιν αὐτῶν ἔδωκαν ἄδειαν; πολλοῦ γε καὶ δεῖ. Λέων Τιμαγόρου κατηγόρει, συμπεπρεσβευκὼς τέτταρα ἔτη[1]· Εὔβουλος Θάρρηκος καὶ Σμικύθου συσσεσιτηκώς· Κόνων ὁ παλαιὸς ἐκεῖνος, Ἀδειμάντου, συστρατηγήσας. Πότεροι οὖν τοὺς ἄλας, καὶ τὰς σπονδὰς παρέβαινον, Αἰσχίνη; οἱ προδιδόντες, καὶ οἱ παραπρεσβεύοντες, καὶ οἱ δωροδοκοῦντες; ἢ οἱ κατηγοροῦντες; οἱ ἀδικοῦντες δηλονότι τὰς ὅλης γε τῆς πατρίδος σπονδάς, ὥσπερ σύ, οὐ μόνον τὰς ἰδίας.

bons imitent-ils, pour cela, les méchants? non, car s'ils trouvent parmi eux un coupable, ils le dénoncent au Conseil et au peuple. Même chose dans le Conseil : il a ses sacrifices d'installation, ses banquets. Des libations, de pieuses cérémonies réunissent nos stratéges, et presque tous les corps de l'État : eh bien! accordent-ils l'inviolabilité aux membres prévaricateurs? Loin de là, Léon accuse Timagoras, son collègue d'ambassade pendant quatre ans : Eubule accuse Tharrhex et Smicythos, ses commensaux; Conon, cet ancien général, accuse le général Adimante. Parmi eux, qui donc, ô Eschine, brisait les symboles de la confraternité? Étaient-ce les traîtres, les députés infidèles, les receveurs de présents, ou leurs accusateurs? Ah! sans doute c'étaient ceux qui, comme toi, violaient non-seulement des obligations personnelles, mais les engagements sacrés de la patrie.

οὐ μιμοῦνται τοὺς πονηρούς,	n'imitent pas les méchants,
ἀλλά, ἐὰν λάβωσί τινα αὐτῶν	mais, s'ils ont découvert quelqu'un
ἀδικοῦντα,	prévariquant, [d'eux
δηλοῦσι	ils *le* dénoncent
τῇ βουλῇ καὶ τῷ δήμῳ.	au Conseil et au peuple.
Ἡ βουλὴ τὰ αὐτὰ ταῦτα,	Le Conseil *fait* ces mêmes choses,
ἔθυσεν	il offre-des-sacrifices
εἰσιτήρια,	*pour* les séances d'installation,
συνεστιάθη.	il a-des-banquets-en-commun.
Οἱ στρατηγοί,	Les généraux,
σχεδὸν πᾶσαι αἱ ἀρχαί,	presque tous les magistrats,
ὡς εἰπεῖν,	pour *ainsi* dire,
ἐκοινώνησαν σπονδῶν,	participent-aux-mêmes libations,
ἱερῶν.	*et* sacrifices.
Ἆρα οὖν	Est-ce que donc,
διὰ ταῦτα	à-cause-de cela,
ἔδωκαν ἄδειαν	ils ont donné impunité
τοῖς ἀδικοῦσιν αὐτῶν;	aux injustes parmi eux?
καὶ δεῖ πολλοῦ γε.	il s'en faut même de beaucoup.
Λέων κατηγόρει Τιμαγόρου,	Léon accusait Timagoras,
συμπεπρεσβευκὼς	ayant été-ambassadeur-avec *lui*
τέτταρα ἔτη·	*pendant* quatre ans;
Εὔβουλος	Eubule
Θάρρηκος καὶ Σμικύθου,	*accusait* Tharrhex et Smicythos,
συσσεσιτηκώς·	ayant pris-ses-repas-avec *eux;*
Κόνων ἐκεῖνος ὁ παλαιὸς	Conon, ce-célèbre ancien,
Ἀδειμάντου,	*accusait* Adimante,
συστρατηγήσας.	ayant été-général-avec *lui.*
Πότεροι οὖν, Αἰσχίνη,	Lesquels donc, Eschine,
παρέβαινον τοὺς ἅλας	violaient le sel
καὶ τὰς σπονδάς;	et les libations?
οἱ προδιδόντες,	ceux qui trahissaient, [sion,
καὶ οἱ παραπρεσβεύοντες,	et qui prévariquaient-dans-une-mis-
καὶ οἱ δωροδοκοῦντες;	et qui recevaient-des-présents?
ἢ οἱ κατηγοροῦντες;	ou bien ceux qui *les* accusaient?
δηλονότι	il *est* évident que
οἱ ἀδικοῦντες,	*ce sont* ceux qui violaient,
ὥσπερ σύ, τὰς σπονδὰς	comme toi, les engagements-sacrés
ὅλης γε τῆς πατρίδος,	de toute la patrie, [privés.
οὐ μόνον τὰς ἰδίας.	*et* non-seulement les *engagements*

Ἵνα τοίνυν εἰδῆτε, ὅτι οὐ μόνον τῶν δημοσίᾳ πώποτ' ἐληλυθότων ὡς Φίλιππον ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἰδίᾳ, καὶ πάντων οὗτοι φαυλότατοι καὶ πονηρότατοι γεγόνασι, μικρὸν ἀκούσατέ μου ἔξω τι τῆς πρεσβείας ταύτης.

Ἐπειδὴ γὰρ εἶλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπια ἐποίει[1]. Εἰς δὲ τὴν θυσίαν ταύτην, καὶ τὴν πανήγυριν, πάντας τοὺς τεχνίτας συνήγαγεν. Ἑστιῶν δ' αὐτούς, καὶ στεφανῶν τοὺς νενικηκότας, ἤρετο Σάτυρον τουτονί, τὸν κωμικὸν ὑποκριτήν, τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται· ἢ τίνα ἐν αὐτῷ μικροψυχίαν, ἢ τίνα πρὸς αὐτὸν ἀηδίαν ἐνεωραχὼς εἴη· εἰπεῖν δή φασι τὸν Σάτυρον, ὅτι, ὧν μὲν οἱ ἄλλοι δέονται, οὐδενὸς ὢν ἐν χρείᾳ τυγχάνει· ἃ δ' ἂν αὐτὸς ἐπαγγείλαιτο ἡδέως, ῥᾷστα μέν ἐστι Φιλίππῳ δοῦ-

Mais, pour vous convaincre, Athéniens, que, de tous ceux qui se sont rendus auprès de Philippe avec ou sans caractère public, ces hommes ont été les plus criminels et les plus pervers, écoutez un court récit, étranger à cette ambassade.

Philippe, après la prise d'Olynthe, célébrait des jeux en l'honneur de Jupiter Olympien. A cette fête, à cette réunion solennelle, il avait convié tous les artistes dramatiques. Les ayant admis à sa table, et distribuant des couronnes aux vainqueurs, il voulut savoir pourquoi notre célèbre comique Satyros était le seul qui ne demandât rien : l'aurait-il soupçonné d'avarice ? le croirait-il indisposé contre lui ? Satyros, dit-on, répondit qu'il n'avait besoin d'aucun des présents que recherchaient les autres ; que cependant il solliciterait volontiers une

Ἵνα τοίνυν εἰδῆτε
ὅτι οὗτοι
γεγόνασι φαυλότατοι
καὶ πονηρότατοι
καὶ πάντων ἀνθρώπων,
οὐ μόνον
τῶν ἐληλυθότων πώποτε
ὡς Φίλιππον
δημοσίᾳ,
ἀλλὰ καὶ
τῶν ἰδίᾳ,
ἀκούσατέ μου
μικρόν τι
ἔξω ταύτης τῆς πρεσβείας.
Ἐπειδὴ γὰρ Φίλιππος
εἷλεν Ὄλυνθον,
ἐποίει·
Ὀλύμπια.
Εἰς δὲ ταύτην τὴν θυσίαν
καὶ τὴν πανήγυριν,
συνήγαγε
πάντας τοὺς τεχνίτας.
Ἑστιῶν δὲ αὐτούς,
καὶ στεφανῶν
τοὺς νενικηκότας,
ἤρετο Σάτυρον τουτονί,
ὑποκριτὴν τὸν κωμικόν,
τί δὴ μόνος
ἐπαγγέλλεται οὐδέν·
ἢ (εἴη) ἐνεωρακὼς ἐν αὐτῷ
τινὰ μικροψυχίαν,
ἢ τίνα ἀηδίαν
πρὸς αὐτόν·
φασὶ δὴ τὸν Σάτυρον εἰπεῖν
ὅτι τυγχάνει μὲν ὢν ἐν χρείᾳ
οὐδενὸς
ὧν οἱ ἄλλοι δέονται·
ἃ δὲ αὐτὸς
ἂν ἐπαγγείλαιτο ἡδέως,
ἐστὶ μὲν Φιλίππῳ

Or, pour que vous sachiez
que ces *députés*
sont devenus les plus méchants
et les plus pervers
même de tous les hommes,
non-seulement
de ceux qui allèrent jamais
vers Philippe
avec-un-titre-public,
mais encore [culiers,
de ceux *qui y allèrent* comme-parti-
entendez-moi *raconter*
une petite *histoire*
en dehors de cette ambassade.
Lorsque Philippe donc
eut pris Olynthe,
il fit *célébrer*
des fêtes-olympiennes.
Or à ces sacrifices
et à cette assemblée-de-fête
il réunit
tous les artistes-dramatiques.
Et régalant eux,
et couronnant
ceux qui avaient vaincu,
il demanda à Satyros, que-voici,
acteur comique,
pourquoi seul
il ne demandait rien;
soit qu'il fût ayant (qu'il eût) vu en lui
quelque bassesse-d'âme (avarice),
ou quelque disposition-fâcheuse
pour lui;
on rapporte *que* Satyros dit
qu'il se trouvait *n'*étant en besoin
d'aucune *des choses*
que les autres demandent;
mais *que* ce que lui-même
désignerait volontiers,
était pour Philippe

ναι καὶ χαρίσασθαι πάντων· δεδοικέναι δέ, μὴ διαμάρτῃ. Κελεύσαντος δ' ἐκείνου λέγειν, καί τι καὶ νεανιευσαμένου τοιοῦτον, ὡς οὐδὲν ὅ τι οὐ ποιήσει, εἰπεῖν αὐτόν φασιν, ὅτι ἦν αὐτῷ Ἀπολλοφάνης, ὁ Πυδναῖος, ξένος καὶ φίλος· ἐπειδὴ δὲ δολοφονηθεὶς ἐτελεύτησεν ἐκεῖνος[1], φοβηθέντες οἱ συγγενεῖς αὐτοῦ ὑπεξέθεντο τὰς θυγατέρας, παιδί' ὄντα, εἰς Ὄλυνθον. Αὗται νῦν, ἔφη, τῆς πόλεως ἁλούσης αἰχμάλωτοι γεγόνασι, καὶ εἰσὶ παρὰ σοί, ἡλικίαν ἔχουσαι γάμου. Ταύτας, αἰτῶ σε καὶ δέομαι, δός μοι. Βούλομαι δέ σε ἀκοῦσαι καὶ μαθεῖν, οἵαν μοι δώσεις δωρεάν, ἂν ἄρα δῷς· ἀφ' ἧς ἐγὼ κερδανῶ μὲν οὐδέν, ἐὰν λάβω, προῖκα δὲ προσθείς, ἐκδώσω, καὶ οὐ περιόψομαι παθούσας οὐδὲν ἀνάξιον, οὔθ' ἡμῶν, οὔτε τοῦ πατρός. Ὡς δ' ἀκοῦσαι τοὺς παρ-

grâce, celle qui devait le moins coûter à Philippe; mais qu'il craignait un refus. Le monarque lui ordonne de parler, et, dans un transport de générosité, s'engage à tout accorder. « Apollophane de Pydna, reprend l'acteur, était mon hôte et mon ami. Il mourut assassiné. Ses parents, craignant pour ses filles, encore enfants, les firent passer à Olynthe, comme dans un asile sûr. Elles ont atteint l'âge nubile; et, depuis la prise de cette ville, elles sont devenues tes captives. Je te les demande avec prières, donne-les-moi. Mais apprends l'usage que je ferai de ton présent, si je l'obtiens : loin d'en tirer aucun profit, je doterai ces jeunes filles, je les établirai ; je ne permettrai pas qu'elles éprouvent aucun traitement indigne de leur père et de moi. » Ces pa-

ῥᾷστα πάντων δοῦναι
καὶ χαρίσασθαι·
δεδοικέναι δὲ
μὴ διαμάρτῃ.
Ἐκείνου δὲ κελεύσαντος λέγειν,
καὶ
νεανιευσαμένου
καί τι τοιοῦτον,
ὡς οὐδὲν
ὅ τι οὐ ποιήσει,
φασὶν αὐτὸν εἰπεῖν,
ὅτι Ἀπολλοφάνης ὁ Πυδναῖος
ἦν ξένος καὶ φίλος αὐτῷ·
ἐπειδὴ δὲ ἐκεῖνος
δολοφονηθεὶς
ἐτελεύτησεν,
οἱ συγγενεῖς, φοβηθέντες,
ὑπεξέθεντο εἰς Ὄλυνθον
τὰς θυγατέρας αὐτοῦ,
ὄντα παιδία.
Τῆς πόλεως ἁλούσης,
αὗται, ἔφη,
γεγόνασι νῦν αἰχμάλωτοι,
καὶ εἰσὶ παρὰ σοί,
ἔχουσαι ἡλικίαν γάμου.
Δὸς ταύτας μοι, αἰτῶ σε
καὶ δέομαι.
Βούλομαι δέ
σε ἀκοῦσαι καὶ μαθεῖν
οἵαν δωρεὰν δώσεις μοι,
ἂν ἄρα δῷς·
ἀπὸ ἧς
ἐγὼ κερδανῶ μὲν οὐδέν,
ἐὰν λάβω,
προσθεὶς δὲ προῖκα,
ἐκδώσω,
καὶ οὐ περιόψομαι
παθούσας
οὐδὲν ἀνάξιον
οὔτε ἡμῶν, οὔτε τοῦ πατρός.

la plus facile chose de toutes à donner
et à céder-par-complaisance ;
mais *qu'*il craignait
qu'il ne-*l'*obtînt-point.
Ce *prince lui* ayant ordonné de par-[ler,
et [de-jeune-homme
lui ayant promis-avec-une-ardeur-
même quelque chose de tel, *savoir,*
qu'*il* n'*est* rien
qu'il ne fera *pour lui*, [dit,
on rapporte *que* lui (Satyros) répon-
qu'Apollophane de-Pydna
était hôte et ami à lui :
mais *que*, quand celui-ci,
tué-en-embuscade,
eut fini *de vivre*,
les parents, craignant *pour elles*,
firent-passer-secrètement à Olynthe
les filles de lui,
qui étaient jeunes-enfants.
La ville *d'Olynthe* prise,
ces *filles*, dit-il,
sont devenues maintenant captives,
et elles sont près de toi,
ayant l'âge du mariage.
Donne-les-moi, je te *les* demande
et *t'en* prie.
Or je veux
que tu entendes et apprennes
quel présent tu donneras à moi
si toutefois tu *le* donnes :
duquel (de ce présent)
je ne tirerai-bénéfice aucun,
si je *les* reçois ;
mais, ayant constitué une dot,
je *les* donnerai *en mariage*,
et ne souffrirai pas
elles souffrant (qu'elles souffrent)
rien d'indigne
ni de nous, ni de leur père.

όντας ἐν τῷ συμποσίῳ, τοσοῦτον κρότον, καὶ θόρυβον, καὶ ἔπαινον παρὰ πάντων γενέσθαι, ὥστε τὸν Φιλιππον παθεῖν τι, καὶ δοῦναι. Καίτοι τῶν ἀποκτεινάντων ἦν Ἀλέξανδρον, τὸν ἀδελφὸν τὸν Φιλίππου, οὗτος ὁ Ἀπολλοφάνης.

Ἐξετάσωμεν δὴ πρὸς τὸ τοῦ Σατύρου τοῦτο συμπόσιον, ἕτερον συμπόσιον, τούτων ἐν Μακεδονίᾳ γενόμενον. Καὶ θεάσασθε, εἰ παραπλήσιον τούτῳ, καὶ ὅμοιον. Κληθέντες γὰρ οὗτοι πρὸς Ξενόφρονα, τὸν υἱὸν τὸν Φαιδίμου, τοῦ τῶν Τριάκοντα[1], ᾤχοντο. Ἐγὼ δὲ οὐκ ἐπορεύθην. Ἐπειδὴ δὲ ἦκον εἰς τὸ πίνειν, εἰσάγει τινὰ Ὀλυνθίαν γυναῖκα, εὐπρεπῆ μέν, ἐλευθέραν δὲ καὶ σώφρονα, ὡς τὸ τέλος ἐδήλωσε. Ταύτην τὸ μὲν πρῶτον οὕτωσὶ πίνειν ἠνάγκαζον ἡσυχῇ, καὶ τρώγειν οὗτοι, μοὶ δοκεῖν, ὡς διηγεῖτο Ἰατροκλῆς ἐμοὶ τῇ ὑστεραίᾳ. Ὡς δὲ προήει τὸ πρᾶγμα,

roles excitèrent parmi tous les convives de si grands applaudissements, de si vives acclamations, que Philippe ému accorda la demande, bien que cet Apollophane eût été l'un des meurtriers d'Alexandre, son frère.

A la conduite que tint Satyros dans ce festin, comparons celle de vos députés dans un autre repas donné en Macédoine, et voyez si elles se ressemblent. Invités chez Xénophron, fils de Phédimos, un des Trente, ils s'y rendirent; moi, je n'y allai point. Quand on en vint à boire, Xénophron fit entrer une Olynthienne d'une grande beauté, mais noble et pudique, comme la fin le montra. D'abord ces hommes la pressaient doucement de boire et de goûter quelques friandises, ainsi qu'Iatroclès me le raconta le lendemain. Mais, le vin échauffant

Ὡς δὲ τοὺς παρόντας
ἐν τῷ συμποσίῳ
ἀκοῦσαι,
κρότον καὶ θόρυβον
καὶ ἔπαινον γενέσθαι
τοσοῦτον παρὰ πάντων,
ὥστε τὸν Φίλιππον
παθεῖν τι,
καὶ δοῦναι.
Καίτοι οὗτος ὁ Ἀπολλοφάνης
ἦν τῶν ἀποκτεινάντων
Ἀλέξανδρον,
τὸν ἀδελφὸν τὸν Φιλίππου.
Ἐξετάσωμεν δὴ
πρὸς τοῦτο συμπόσιον
τὸ τοῦ Σατύρου,
ἕτερον συμπόσιον τούτων,
γενόμενον ἐν Μακεδονίᾳ.
Καὶ θεάσασθε
εἰ παραπλήσιον
καὶ ὅμοιον τούτῳ.
Οὗτοι γὰρ κληθέντες
πρὸς Ξενόφρονα,
τὸν υἱὸν τὸν Φαιδίμου,
τοῦ τῶν Τριάκοντα, ᾤχοντο.
Ἐγὼ δὲ οὐκ ἐπορεύθην.
Ἐπειδὴ δὲ ἦκον εἰς τὸ πίνειν,
εἰσάγει
τινὰ γυναῖκα Ὀλυνθίαν,
εὐπρεπῆ μέν,
ἐλευθέραν δὲ
καὶ σώφρονα,
ὡς τὸ τέλος ἐδήλωσε.
Τὸ μὲν πρῶτον οὗτοι
ἠνάγκαζον ἡσυχῇ ταύτην
πίνειν οὕτωσὶ
καὶ τρώγειν,
μοὶ δοκεῖν,
ὡς Ἰατροκλῆς διηγεῖτο ἐμοὶ
τῇ ὑστεραίᾳ.

On dit que, quand ceux qui assis-
au banquet [taient
eurent entendu *ces paroles*,
applaudissement et bruit
et éloge eurent lieu,
tels de la part de tous,
que Philippe [*émotion*,
avoir éprouvé (éprouva) quelque
et avoir donné (donna) *ces filles*.
Pourtant cet Apollophane
était *un* de ceux qui avaient tué
Alexandre,
le frère de Philippe.
Examinons donc
en-comparaison-de ce banquet
de Satyros,
un autre banquet de ces *députés*,
qui eut lieu en Macédoine.
Et considérez
s'*il est* approchant *de l'autre*
et semblable à celui-là.
Ces *hommes* ayant été invités
chez Xénophron,
fils de Phædimos,
l'un des Trente, *y* allèrent.
Moi, je ne m'*y* rendis pas.
Lorsqu'ils *en* vinrent au boire,
Xénophron introduit
une femme Olynthienne,
belle, il est vrai,
mais honnêtement-élevée
et modeste,
comme la fin *le* montra.
Au commencement ces *hommes*
pressèrent doucement elle
de boire ainsi *qu'eux*
et de manger-des-friandises,
à moi paraître (ainsi qu'il me paraît),
comme Iatroclès *le* racontait à moi
le lendemain.

καὶ διεθερμαίνοντο, κατακλίνεσθαι, καί τι καὶ ᾄδειν ἐκέλευον. Ἀδημονούσης δὲ τῆς ἀνθρώπου, καὶ οὔτ' ἐθελούσης, οὔτ' ἐπισταμένης, ὕβριν τὸ πρᾶγμα ἔφασαν οὑτοσί, καὶ ὁ Φρύνων, καὶ οὐκ ἀνεκτὸν εἶναι, τῶν θεοῖς ἐχθρῶν, τῶν ἀλιτηρίων Ὀλυνθίων αἰχμάλωτον οὖσαν, τρυφᾶν. Καί· «Κάλει παῖδα,» καί· «Ἴμάντα τις φερέτω.» Ἦκεν οἰκέτης ἔχων ῥυτῆρα, καὶ πεπωκότων, οἶμαι, καὶ μικρῶν ὄντων τῶν παροξυνόντων, εἰπούσης τι, καὶ διακρουσάσης ἐκείνης, περιῤῥήξας τὸν χιτωνίσκον ὁ οἰκέτης, ξαίνει κατὰ τοῦ νώτου πολλάς. Ἔξω δ' αὐτῆς οὖσα ὑπὸ τοῦ κακοῦ καὶ τοῦ πράγματος ἡ γυνή, ἀναπηδήσασα, προσπίπτει πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ, καὶ τὴν τράπεζαν ἀνατρέπει· καὶ εἰ μὴ ἐκεῖνος ἀφείλετο, ἀπώλετ' ἂν παροινουμένη. Καὶ γὰρ ἡ παροινία τοῦ καθάρματος τουτουὶ δεινή. Καὶ περὶ ταύτης τῆς ἀνθρώ-

par degrés leur audace, ils lui ordonnent de se mettre à table et de chanter. Cette femme, qui ne voulait ni ne savait chanter, s'en défend avec trouble. Eschine et Phrynon déclarent que ce refus est une insulte, et qu'ils ne sauraient souffrir qu'une captive née chez un peuple réprouvé du ciel, chez les exécrables Olynthiens, fasse la fière. « Qu'on appelle un esclave! qu'on apporte un fouet! » Le serviteur vient, armé de lanières; et, par l'ordre des buveurs, trop faciles à irriter, malgré les plaintes et les larmes de l'infortunée, il déchire, il arrache sa tunique, et sillonne son dos à coups redoublés. En proie à ce cruel traitement, la femme s'élance éperdue, renverse la table, tombe aux genoux d'Iatroclès; et, si celui-ci ne la leur eût arrachée, elle aurait péri dans cette orgie; car l'ivresse de ce misérable est

Ὡς δὲ τὸ πρᾶγμα προήει,
καὶ διεθερμαίνοντο,
ἐκέλευον
κατακλίνεσθαι,
καὶ ᾄδειν καί τι.
Τῆς δὲ ἀνθρώπου ἀδημονούσης,
καὶ οὔτε ἐθελούσης
οὔτε ἐπισταμένης,
οὑτοσὶ καὶ ὁ Φρύνων
ἔφασαν τὸ πρᾶγμα εἶναι ὕβριν,
καὶ οὐκ ἀνεκτὸν
τρυφᾶν,
οὖσαν αἰχμάλωτον
Ὀλυνθίων
τῶν ἀλιτηρίων,
τῶν ἐχθρῶν θεοῖς.
Καί· « Κάλει παῖδα, »
καί· « Τὶς φερέτω ἱμάντα. »
Οἰκέτης ἦκεν, ἔχων ῥυτῆρα,
καὶ πεπωκότων, οἶμαι,
καὶ μικρῶν ὄντων
τῶν παροξυνόντων,
ἐκείνης εἰπούσης τι
καὶ διακρουσάσης,
ὁ οἰκέτης
περιῤῥήξας τὸν χιτωνίσκον,
ξαίνει πολλὰς
κατὰ τοῦ νώτου.
Ἡ δὲ γυνὴ
οὖσα ἔξω αὑτῆς
ὑπὸ τοῦ κακοῦ
καὶ τοῦ πράγματος,
ἀναπηδήσασα, προσπίπτει
πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ,
καὶ ἀνατρέπει τὴν τράπεζαν·
καί, εἰ ἐκεῖνος μὴ ἀφείλετο,
ἀπώλετο ἂν παροινουμένη.
Καὶ γὰρ ἡ παροινία
τουτουὶ τοῦ καθάρματος
δεινή.

Comme la chose avançait,
et que *les convives* s'échauffaient,
ils *lui* ordonnèrent
de se-mettre-à-table,
et de chanter même quelque chose.
La femme étant tourmentée,
et ni ne voulant
ni ne sachant *chanter*,
celui-ci et Phrynon [sulte,
dirent *que* son action était une in-
et *qu'il* n'*était* pas supportable
*qu'*elle fît-la-fière,
étant une captive
du pays des Olynthiens,
de ces hommes exécrables,
ennemis aux (des) dieux.
Et *ils dirent :* « Appelle l'esclave, »
et : « Qu'on apporte un fouet. »
Le serviteur vint, ayant des lanières ;
et, *eux* ayant bu, je crois,
et de petites choses étant (suffisant)
qui *les* irritaient (à les irriter),
cette femme disant quelques *plain-*
et ayant résisté, [*tes*
le serviteur [que,
ayant déchiré-tout-autour *sa* tuni-
cingle beaucoup *de coups*
sur son épaule.
La femme
étant *mise* hors d'elle-même
par la douleur
et par ce traitement,
s'élançant, vient-tomber
près des genoux d'Iatroclès,
et renverse la table ;
et, si celui-ci ne *la leur* eût arrachée,
elle aurait péri victime-d'une-orgie.
Car l'ivresse
de ce misérable
est terrible.

που, καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν ἐν τοῖς Μυρίοις. Καὶ Διόφαντος ἐν ὑμῖν ἀπήγγειλεν, ἃ νῦν μαρτυρεῖν αὐτὸν ἀναγκάσω, καὶ κατὰ Θετταλίαν πολὺς λόγος, καὶ πανταχοῦ.

Καὶ τοιαῦτα συνειδὼς ἑαυτῷ πεπραγμένα ὁ ἀκάθαρτος οὑτοσί, τολμήσει βλέπειν εἰς ὑμᾶς; καὶ τὸν βεβιωμένον αὐτῷ βίον αὐτίκα δὴ μάλ' ἐρεῖ λαμπρᾷ τῇ φωνῇ; ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι. Οὐκ ἴσασιν οὗτοι, τὸ μὲν ἐξαρχῆς τὰς βίβλους ἀναγιγνώσκοντά σε τῇ μητρὶ τελούσῃ[1], καὶ παῖδα ὄντα, ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώποις καλινδούμενον; μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπογραμματεύοντα, καὶ δυοῖν ἢ τριῶν δραχμῶν πονηρὸν ὄντα; τὰ τελευταῖα δ' ἔναγχος ἐν χορηγίοις ἀλλοτρίοις ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενον; Ποῖον οὖν ἐρεῖς βίον, ὃν οὐ βεβίωκας; ἐπεὶ ὅ γε βεβιωμένος σοι τοιοῦτος ὢν φαίνεται.

terrible. On redisait ce fait dans l'assemblée des Dix-Mille, en Arcadie; Diophante, dont j'invoquerai ici le témoignage, vous l'a rapporté; on en parlait beaucoup en Thessalie, et partout.

La conscience chargée de telles horreurs, cet infâme osera vous regarder en face, et, d'une voix retentissante, il viendra bientôt nous vanter sa vie! Ah! tant d'audace me confond! Tes juges ignorent-ils donc que tu as débuté par lire à ta mère ses formules d'initiation; qu'encore enfant, tu te vautrais parmi les ivrognes et les bacchantes; qu'ensuite, greffier subalterne, tu as, pour deux ou trois drachmes, trahi ton ministère; qu'enfin naguère encore tu jouais, aux frais d'autrui, les troisièmes rôles, trop heureux de gagner ainsi son pain? La voila, ta vie; elle est connue: celle que tu décriras,

Καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν
ἐν τοῖς Μυρίοις
περὶ ταύτης τῆς ἀνθρώπου.
Καὶ Διόφαντος ἀπήγγειλεν
ἐν ὑμῖν,
ἃ ἀναγκάσω αὐτὸν
νῦν μαρτυρεῖν·
καὶ πολὺς λόγος
κατὰ Θετταλίαν, καὶ πανταχοῦ.
Καὶ οὗτοσὶ ὁ ἀκάθαρτος
συνειδὼς ἑαυτῷ
τοιαῦτα πεπραγμένα,
τολμήσει βλέπειν εἰς ὑμᾶς;
καὶ αὐτίκα δὴ μάλα ἐρεῖ
τῇ φωνῇ λαμπρᾷ
τὸν βίον βεβιωμένον αὑτῷ;
ἐπὶ οἷς
ἔγωγε ἀποπνίγομαι.
Οὗτοι οὐκ ἴσασί
σε τὸ μὲν ἐξ ἀρχῆς
ἀναγιγνώσκοντα
τὰς βίβλους
τῇ μητρὶ τελούσῃ,
καὶ ὄντα παῖδα,
καλινδούμενον
ἐν θιάσοις
καὶ ἀνθρώποις μεθύουσι;
μετὰ ταῦτα δὲ
ὑπογραμματεύοντα
ταῖς ἀρχαῖς,
καὶ ὄντα πονηρὸν
δυοῖν ἢ τριῶν δραχμῶν;
τὰ τελευταῖα δὲ ἔναγχος
παρατρεφόμενον ἀγαπητῶς
ἐπὶ τῷ τριταγωνιστεῖν
ἐν χορηγίοις ἀλλοτρίοις;
Ποῖον οὖν βίον
ἐρεῖς,
ὃν οὐ βεβίωκας;
ἐπεὶ ὅ γε βεβιωμένος σοι

Et en Arcadie propos était (on parlait)
dans *l'assemblée des* Dix-Mille
de cette femme.
Et Diophante rapporta
parmi vous
des détails que je forcerai lui
maintenant d'attester ; [*là-dessus*
et beaucoup de conversations *étaient*
en Thessalie, et partout.
Et cet *homme* impur
ayant-conscience en lui-même
de telles *actions* faites *par lui*,
osera élever-ses-regards sur vous !
et très-prochainement il dira
d'une voix brillante
la vie vécue par lui !
par quoi *tion.*
je suis certes suffoqué *d'indigna-*
Ceux-ci (les juges) ne savent-ils pas
toi dans le commencement *de ta vie*
lisant (que tu lisais)
les livres *mystiques*
à *ta* mère qui-faisait-des-initiations,
et *qu'*étant enfant
tu te roulais
parmi les troupes-de-bacchantes
et les hommes ivres ?
*qu'*après cela
tu étais-sous-greffier
des magistrats,
et *que* tu fus corrompu
pour deux ou trois drachmes ?
et *que* finalement, en-dernier-lieu,
tu gagnais-ta-vie avec-joie
à jouer-les-troisièmes-rôles
aux dépens d'-autrui ?
Quelle *est* donc *cette* vie
que tu exposeras,
dont tu n'as pas vécu ?
puisque celle qui a été vécue par toi

Ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας! οὗτος ἄλλον ἔκρινε παρ' ὑμῖν ἐπὶ πορνείᾳ. Ἀλλὰ μήπω ταῦτα, ἀλλὰ τὰς μαρτυρίας μοι λέγε πρῶτον ταυτασί.

ΜΑΡΤΥΡΙΑΙ.

Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων, ὦ ἄνδρες δικασταί, ὧν ἀδικῶν ὑμᾶς ἐξελήλεγκται (ἐν οἷς τί κακὸν οὐκ ἔνι; δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος[1], ψεύστης, τῶν φίλων προδότης, πάντα ἔνεστι τὰ δεινότατα), πρὸς ἓν οὐδοτιοῦν τούτων ἀπολογήσεται, οὐδ' ἕξει δικαίαν, οὐδ' ἁπλῆν εἰπεῖν ἀπολογίαν οὐδεμίαν. Ἃ δ' ἐγὼ πέπυσμαι μέλλειν αὐτὸν λέγειν, ἔστι μὲν ἐγγυτάτω μανίας. Οὐ μὴν ἀλλ' ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον ἄλλο εἰπεῖν ἀνάγκη πάντα μηχανᾶσθαι. Ἀκούω γὰρ αὐτὸν ἐρεῖν, ὡς ἄρα ἐγὼ πάντων, ὧν κατηγορῶ, κοινωνὸς γέγονα, καὶ συνήρεσκε ταῦτά μοι, καὶ συνέπραττον αὐτῷ· ἔπειτα ἐξαίφνης μεταβέβλημαι, καὶ κατηγορῶ. Ἔστι δὲ ὑπὲρ μὲν τῶν πεπραγμένων, οὔτε δικαία, οὔτε προσήκουσα ἡ τοιαύτη ἀπολογία. Ἐμοῦ μέντοι τις

qu'est-ce, sinon une imposture? O licence effrénée! voilà l'homme qui en a cité un autre devant vous pour ses désordres! Mais n'anticipons point. Lis les dépositions que j'ai annoncées.

DÉPOSITIONS.

Convaincu, ô juges, de prévarications aussi graves et aussi nombreuses, qui renferment tous les crimes ensemble, vénalité, basse adulation, imprécations que vous lui renverrez, imposture, traîtrise, tout ce qu'il y a de plus hideux, Eschine ne pourra se justifier sur aucun grief, ni produire une seule défense droite et sensée. Celle dont j'ai appris qu'il doit faire usage est très-voisine de la folie : qu'importe? à défaut de solides raisons, nécessité met tout en jeu. Il dira donc, on m'en a prévenu, qu'après avoir trempé dans tous les crimes que je poursuis, approuvé tous ses projets, secondé toutes ses démarches, de complice je me suis soudain transformé en accusateur. Devant l'équité et les convenances, ce n'est pas là justi-

φαίνεται ὢν τοιοῦτος.
Ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας!
οὗτος ἔκρινεν ἄλλον
παρὰ ὑμῖν ἐπὶ πορνείᾳ.
Ἀλλὰ μήπω ταῦτα,
ἀλλὰ λέγε μοι πρῶτον
τὰς μαρτυρίας ταυτασί.

paraît-évidemment étant telle.
Mais, *excès* de licence!
cet *homme en* faisait-juger un autre
près de vous pour mauvaises-mœurs.
Cependant ne *parlons* pas encore *de* [cela,
mais lis-moi auparavant
ces témoignages-ci.

ΜΑΡΤΥΡΙΑΙ. DÉPOSITIONS.

Ὦ ἄνδρες δικασταί,
ὧν ἐξελήλεγκται
ἀδικῶν ὑμᾶς
ὄντων τοίνυν
τοσούτων καὶ τοιούτων
(ἐν οἷς τί κακὸν οὐκ ἔνι;
δωροδόκος, κόλαξ,
ἔνοχος ταῖς ἀραῖς,
ψεύστης, προδότης τῶν φίλων,
πάντα τὰ δεινότατα ἔνεστιν),
ἀπολογήσεται
πρὸς ἓν οὐδοτιοῦν τούτων,
οὐδὲ ἕξει εἰπεῖν
οὐδεμίαν ἀπολογίαν
δικαίαν οὐδὲ ἁπλῆν.
Ἃ δὲ ἐγὼ πέπυσμαι
αὐτὸν μέλλειν λέγειν,
ἔστι μὲν ἐγγυτάτω μανίας.
Οὐ μὴν ἀλλὰ μηχανᾶσθαι πάντα
ἀνάγκη ἴσως τῷ ἔχοντι εἰπεῖν
μηδὲν ἄλλο δίκαιον.
Ἀκούω γὰρ αὐτὸν ἐρεῖν
ὡς ἄρα ἐγὼ γέγονα κοινωνὸς
πάντων ὧν κατηγορῶ,
καὶ ταῦτα
συνήρεσκέ μοι,
καὶ συνέπραττον αὐτῷ·
ἔπειτα μεταβέβλημαι ἐξαίφνης,
καὶ κατηγορῶ.
Ἡ δὲ ἀπολογία
τοιαύτη

O hommes juges!
les faits dont *Eschine* a été convaincu
étant (d'être)-coupable envers vous
étant donc
si-nombreux et si-graves
(dans lesquels quel mal n'est pas?
acceptant-des-présents, flatteur,
objet d'imprécations,
menteur, traître à ses amis,
tous les *crimes* les plus révoltants y- [sont),
il *ne* se justifiera
sur aucun d'eux,
ni ne pourra dire
aucune apologie
juste ni simple.
Mais ce que j'ai appris
*qu'*il doit-bientôt dire,
est très-près de la démence.
N'importe, mettre-en-jeu tout
est nécessité peut-être pour qui n'a
aucune autre *raison* juste. [à dire
J'apprends en effet *qu'*il dira
que moi j'ai été complice
de tous *les crimes* que je dénonce,
et *que* ces *actions*
étaient-approuvées de moi,
et *que* j'agissais-avec lui-même;
*qu'*ensuite j'ai changé soudainement,
et *que* j'accuse.
Or, sa justification
telle (ainsi faite)

κατηγορία. Ἐγὼ μὲν γάρ, εἰ ταῦτα πεποίηκα, φαῦλός εἰμι ἄνθρωπος· τὰ δὲ πράγματα οὐδὲν βελτίω διὰ τοῦτο· οὐδὲ πολλοῦ δεῖ. Οὐ μὴν ἀλλ' ἔγωγ' οἶομαί μοι προσήκειν ἀμφότερα ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύσεται, ταῦτ' ἐὰν λέγῃ, καὶ τὴν δικαίαν ἥτις ἐστὶν ἀπολογία. Ἡ μὲν τοίνυν δικαία, καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπραχται τὰ κατηγορημένα, δεῖξαι, ἢ ὡς πεπραγμένα συμφέρει τῇ πόλει. Τούτων δ' οὐδέτερον δύναιτ' ἂν οὗτος ποιῆσαι. Οὔτε γὰρ ὡς συμφέρει δήπου Φωκέας ἀπολωλέναι, καὶ Πύλας Φίλιππον ἔχειν, καὶ Θηβαίους ἰσχύειν, καὶ ἐν Εὐβοίᾳ στρατιώτας εἶναι, καὶ Μεγάροις ἐπιβουλεύειν, καὶ ἀνώμοτον εἶναι τὴν εἰρήνην, ἔνεστι λέγειν αὐτῷ, οἷς τότε τἀναντί' ἀπήγγειλε πρὸς ὑμᾶς, ὡς συμφέροντα καὶ γενησόμενα· οὔθ' ὡς οὐ πέπραχται

fier sa conduite, c'est accuser la mienne. Si j'ai suivi son exemple, je suis un méchant homme; mais lui, en est-il plus innocent? Oh! non. Je crois cependant devoir établir deux choses : le mensonge de l'accusé, s'il tient ce langage; la voie que la justice trace à son apologie. L'équité, la droiture veulent qu'il montre dans l'accusation, ou des faits controuvés, ou des faits utiles à la République : or, il ne saurait avancer ni l'un ni l'autre. Non, les Phocidiens détruits, les Thébains fortifiés, Philippe maître des Thermopyles, ses troupes occupant l'Eubée et entreprenant sur Mégare une paix sans ratifications, ne peuvent être présentés comme des événements heureux par celui-là même qui vous annonça jadis le contraire comme avantageux

ὑπὲρ μὲν τῶν πεπραγμένων
ἔστιν οὔτε δικαία
οὔτε προσήκουσα.
Τὶς μέντοι κατηγορία
ἐμοῦ.
Ἐγὼ μὲν γάρ,
εἰ πεποίηκα ταῦτα,
εἰμὶ ἄνθρωπος φαῦλος·
τὰ δὲ πράγματα
οὐδὲν βελτίω διὰ τοῦτο·
οὐδὲ δεῖ
πολλοῦ.
Οὐ μὴν ἀλλὰ ἔγωγε οἶομαι
προσήκειν μοι ἐπιδεῖξαι ὑμῖν
ἀμφότερα,
καὶ ὅτι ψεύσεται,
ἐὰν λέγῃ ταῦτα,
καὶ τὴν δικαίαν
ἥτις ἐστὶν ἀπολογία.
Ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ,
δεῖξαι,
ἢ ὡς τὰ κατηγορημένα
οὐ πέπρακται,
ἢ ὡς πεπραγμένα
συμφέρει τῇ πόλει.
Οὗτος δὲ δύναιτο ἂν ποιῆσαι
οὐδέτερον τούτων.
Οὔτε γὰρ ἔνεστιν αὐτῷ λέγειν
ὡς συμφέρει δήπου
Φωκέας ἀπολωλέναι,
καὶ Φίλιππον
ἔχειν Πύλας,
καὶ Θηβαίους ἰσχύειν,
καὶ στρατιώτας
εἶναι ἐν Εὐβοίᾳ,
καὶ ἐπιβουλεύειν Μεγάροις,
καὶ τὴν εἰρήνην εἶναι ἀνώμοτον·
οἷς ἀπήγγειλε τότε
τὰ ἐναντία πρὸς ὑμᾶς,
ὡς συμφέροντα

concernant ses actions
n'est ni juste
ni pertinente.
Mais *c'est* une certaine accusation
contre moi.
Moi, en effet,
si j'ai fait cela,
je suis homme méchant;
mais les faits
ne sont en rien meilleurs pour cela :
il ne s'en faut pas *seulement*
de beaucoup, *mais de tout*.
Donc, pour moi, je crois
*qu'*il convient à moi de montrer à vous
deux choses,
et qu'il mentira,
si-toutefois il dit cela,
et l'*apologie* juste [consiste)
quelle est *cette* apologie (en quoi elle
Or, l'*apologie* juste et simple,
c'est de prouver
ou que les faits-de-l'accusation
n'ont pas été commis,
ou que, commis,
ils sont-favorables à la République.
Mais cet *homme ne* pourrait faire
ni-l'une-ni-l'autre de ces choses.
Car il n'est-pas-en lui de dire
qu'il est-favorable certainement
que les Phocidiens soient détruits,
et *que* Philippe
possède les Thermopyles, [sants,
et *que* les Thébains soient-puis-
et *que* des soldats
soient en Eubée,
et *qu'*ils attentent sur Mégare,
et *que* la paix soit non-jurée
faits dont il annonça alors
les contraires à vous,
comme favorables

ταῦτα, δυνήσεται πεῖσαι τοὺς αὐτοὺς ἑωρακότας ὑμᾶς, καὶ εὖ εἰδότας. Οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις μηδενός, λοιπόν μοι δεῖξαι.

Βούλεσθε οὖν, ὑμῖν, πάντα τἄλλα ἀφείς, ἃ παρ' ὑμῖν ἀντεῖπον, ἃ ἐν τῇ ἀποδημίᾳ προσέκρουον, ὡς ἅπαντα τὸν χρόνον ἠναντίωμαι, αὐτοὺς παράσχωμαι μάρτυρας τουτουσί, ὡς πάντα τἀναντία ἐμοὶ καὶ τούτοις πέπρακται; καὶ χρήματα οὗτοι μὲν ἔχουσιν ἐφ' ὑμῖν, ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή. Τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι, καὶ πλείστης ὀλιγωρίας καὶ ἀναιδείας μεστόν; οὐδείς, οὐδ' ἂν ἁμαρτών, ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι φήσειεν ἄν, ἢ Φιλοκράτην. Τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων, καὶ σαφέστατ' ἂν εἰπεῖν ὅ τι βούλοιτο, λαμπρᾷ τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτι τουτονί. Τίνα δ' οὗτοι μὲν

et prochain ; non, il ne convaincra point de la nullité de ces faits vous qui les connaissez trop bien, vous qui les avez vu s'accomplir. Reste donc à montrer que je n'y eus aucune part.

Voulez-vous que, supprimant tout le reste, et mon opposition auprès de vous, et mes attaques durant le voyage, et mes luttes continuelles, je vous prouve, par le témoignage de mes collègues, que ma conduite contrasta toujours avec la leur, qu'ils ont reçu de l'argent pour vous nuire, et que j'en ai refusé? écoutez. Quel est, à votre avis, l'Athénien le plus pervers, le plus insouciant du devoir, le plus déhonté? Tous, même en cherchant un autre nom, vous désignerez, j'en suis sûr, Philocrate. Quel est l'orateur dont l'organe répond le plus énergiquement à sa volonté, dont la voix est la plus claire, la plus sonore? c'est lui, c'est Eschine. Quel est celui auquel

καὶ γενησόμενα·
οὔτε δυνήσεται πεῖσαι
ὡς ταῦτα οὐ πέπρακται
ὑμᾶς τοὺς αὐτοὺς ἑωρακότας
καὶ εὖ εἰδότας.
Οὐκοῦν λοιπόν μοι
δεῖξαι ὡς οὐ κεκοινώνηκα
μηδενὸς τούτοις.
Βούλεσθε οὖν,
ἀφεὶς πάντα τὰ ἄλλα
ἃ ἀντεῖπον παρὰ ὑμῖν,
ἃ προσέκρουον
ἐν τῇ ἀποδημίᾳ,
ὡς ἠναντίωμαι
ἅπαντα τὸν χρόνον,
παράσχωμαι τουτουσὶ αὐτοὺς
ὑμῖν μάρτυρας
ὡς πάντα τὰ ἐναντία
πέπρακται ἐμοὶ καὶ τούτοις;
καὶ οὗτοι μὲν ἔχουσι χρήματα
ἐπὶ ὑμῖν,
ἐγὼ δὲ οὐκ ἠθέλησα
λαβεῖν;
θεάσασθε δή.
Τίνα τῶν ἐν τῇ πόλει
φήσαιτε ἂν εἶναι βδελυρώτατον,
καὶ μεστὸν
πλείστης ὀλιγωρίας
καὶ ἀναιδείας;
εὖ οἶδα ὅτι οὐδεὶς ὑμῶν,
οὐδὲ ἂν ἁμαρτών,
φήσειεν ἂν ἄλλον
ἢ Φιλοκράτην.
Τίνα δὲ φθέγγεσθαι
μέγιστον ἁπάντων,
καὶ εἰπεῖν ἂν
σαφέστατα ὅ τι βούλοιτο
τῇ φωνῇ λαμπρᾷ;
οἶδα ὅτι
Αἰσχίνην τουτονί.

et devant-avoir-lieu;
ni il ne pourra persuader
que cela n'a pas été accompli
à vous-mêmes qui *l'*avez vu
et bien *le* savez.
Donc, *il est* restant à moi
de montrer que je n'ai participé
à aucun *crime* avec eux.
Voulez-vous donc
que, laissant tout le reste,
les choses que je niais près de vous,
celles pour lesquelles je *les* contre-
dans le voyage, [carrais
combien je m'opposai *à eux*
en tout temps,
je présente ces *députés* mêmes
à vous *comme* témoins
que toutes choses opposées
ont été faites par moi et par eux?
que ces *hommes* ont *reçu* de l'argent
contre vous (pour vous nuire),
et que je n'ai pas voulu
en recevoir?
examinez donc *ceci*.
Lequel de ceux *qui sont* dans la ville
diriez-vous être le plus dépravé,
et rempli
de plus de mépris-du-devoir,
et d'impudence?
je sais bien que nul de vous, [gue,
pas même en laissant-errer-sa-lan-
ne désignerait un autre
que Philocrate.
Lequel *diriez-vous* parler
le plus fort de tous,
et exprimer [voudrait
de-la-manière-la-plus-sonore ce qu'il
avec une voix claire?
je sais que *vous désigneriez*
Eschine ici-présent.

ἄτολμον, καὶ δειλὸν πρὸς τοὺς ὄχλους φασὶν εἶναι, ἐγὼ δ' εὐλαβῆ; ἐμέ. Οὐδὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα, οὔτε μὴ βουλομένους ὑμᾶς βεβίασμαι. Οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησίαις, ὁσάκις λόγος γέγονε περὶ τούτων, καὶ κατηγοροῦντος ἀκούετέ μου, καὶ ἐλέγχοντος ἀεὶ τουτουσί, καὶ λέγοντος ἄντικρυς, ὅτι χρήματα εἰλήφασι, καὶ πάντα τὰ πράγματα πεπράκασι τῆς πόλεως. Καὶ τούτων οὐδεὶς πώποτ', ἀκούων ταῦτα, ἀντεῖπεν, οὐδὲ διῆρε τὸ στόμα, ἀλλ' οὐδ' ἔδειξεν ἑαυτόν. Τί ποτ' οὖν ἐστὶ τὸ αἴτιον, ὅτι οἱ βδελυρώτατοι πάντων τῶν ἐν τῇ πόλει, καὶ μέγιστον φθεγγόμενοι, τοῦ καὶ ἀτολμοτάτου πάντων ἐμοῦ, καὶ οὐδὲν οὐδενὸς μεῖζον φθεγγομένου, τοσοῦτον ἥττωνται; ὅτι τἀληθὲς ἰσχυρόν ἐστι, καὶ τοὐναντίον ἀσθενὲς τὸ συνειδέναι πεπρακόσιν ἑαυτοῖς τὰ πράγματα. Τοῦτο παραιρεῖται τὴν θρασύτητα τὴν τούτων,

ils reprochent le défaut de hardiesse devant la multitude, et une timidité que j'appelle pudeur ? c'est moi. En effet, de ma part, jamais d'importunités fatigantes, jamais de violences de tribune. Cependant, toutes les fois que, dans les assemblées populaires, il fut question de l'ambassade des serments, vous m'entendîtes toujours accuser, toujours convaincre les députés, toujours leur dire en face : « Vous avez reçu de l'or, vous avez vendu la patrie. » Aucun d'eux ne combattit mes reproches, aucun ne prit la parole, aucun ne se présenta. Eh quoi ! les citoyens au front le plus endurci, aux poumons les plus puissants, se taisent devant Démosthène, de tous les orateurs le plus timide, le moins recommandable par sa voix ! Où en est la cause ? Elle est dans la force de la vérité, dans la faiblesse inséparable du remords des traîtres. Oui, le remords brise

Τίνα δὲ οὗτοι μὲν φασὶν εἶναι
ἄτολμον,
καὶ δειλὸν πρὸς τοὺς ὄχλους,
ἐγὼ δὲ εὐλαβῆ;
ἐμέ.
Οὐδὲν γὰρ πώποτε
οὔτε ἠνώχλησα,
οὔτε βεβίασμαι ὑμᾶς
μὴ βουλομένους.
Οὐκοῦν
ἐν πάσαις ταῖς ἐκκλησίαις,
ὁσάκις λόγος
γέγονε περὶ τούτων,
ἀκούετέ μου
καὶ κατηγοροῦντος,
καὶ ἐλέγχοντος ἀεὶ τουτουσί,
καὶ λέγοντος ἀντικρυς
ὅτι εἰλήφασι χρήματα,
καὶ πεπράκασι
πάντα τὰ πράγματα
τῆς πόλεως.
Καὶ πώποτε οὐδεὶς τούτων,
ἀκούων ταῦτα,
ἀντεῖπεν,
οὐδὲ διῆρε τὸ στόμα,
ἀλλὰ οὐδὲ ἔδειξεν ἑαυτόν.
Τί ποτε οὖν ἐστὶ τὸ αἴτιον
ὅτι οἱ βδελυρώτατοι
πάντων τῶν ἐν τῇ πόλει,
καὶ φθεγγόμενοι μέγιστον
ἡττῶνται τοσοῦτον ἐμοῦ
τοῦ καὶ ἀτολμοτάτου πάντων,
καὶ φθεγγομένου οὐδὲν μεῖζον
οὐδενός;
ὅτι τὸ ἀληθές ἐστιν ἰσχυρόν,
καὶ τὸ ἐναντίον
τὸ συνειδέναι ἑαυτοῖς
πεπρακόσι τὰ πράγματα
ἀσθενές.
Τοῦτο παραιρεῖται

Lequel ces *hommes* disent-ils être
sans-hardiesse,
et timide près de la foule,
et *lequel dis*-je *être* circonspect?
moi.
Car en rien jamais
je ne *vous* importunai,
ni ne fis-violence à vous
ne *le* voulant pas.
Eh bien!
dans toutes les assemblées,
chaque-fois-que le discours
fut sur ces *faits*,
vous entendez moi
et accusant, [*mes*,
et convainquant toujours ces *hom-*
et disant formellement
qu'ils ont reçu des présents,
et *qu'*ils ont vendu
tous les intérêts
de la République.
Et jamais aucun d'eux,
entendant cela,
ne contredit,
ni ouvrit la bouche,
mais même ne se montra.
Quelle est donc la cause
que les plus pervers
de tous ceux *qui sont* dans la ville,
et *que* ceux qui parlent le-plus-haut
sont vaincus ainsi par moi,
et le moins-hardi de tous,
et ne parlant nullement plus-haut
qu'aucun?
c'est que la vérité est puissante,
et *qu'*au contraire
avoir-conscience en soi-même
ayant (d'avoir) trahi les affaires
est faible.
Cela enlève

τοῦτο ἀποστρέφει τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾷν ποιεῖ.

Τὸ τοίνυν τελευταῖον ἴστε δήπου καὶ πρώην ἐν Πειραιεῖ, ὅτ' αὐτὸν οὐκ εἰᾶτε πρεσβεύειν[1], βοῶντα, ὡς εἰσαγγελεῖ με, καὶ γράψεται, καὶ ἰοὺ ἰού. Καίτοι, ταῦτα μέν ἐστι μακρῶν καὶ πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα δὲ ἁπλᾶ, καὶ δύο ἢ τρία ἴσως ῥήματα, ἃ κἂν ἐχθὲς ἐωνημένος ἄνθρωπος εἰπεῖν ἠδυνήθη· « Ἄνδρες Ἀθηναῖοι, τουτὶ τὸ πρᾶγμα πάνδεινόν ἐστιν. Οὑτοσὶ κατηγορεῖ ταῦτ' ἐμοῦ, ὧν αὐτὸς κοινωνὸς γέγονε. Καὶ χρήματ' εἰληφέναι φησὶν ἐμέ, αὐτὸς εἰληφώς, ἢ μετειληφώς. » Τούτων μὲν τοίνυν οὐδὲν εἶπεν, οὔτ' ἐφθέγξατο, οὐδ' ἤκουσεν ὑμῶν οὐδείς. Ἄλλα δ' ἠπείλει. Διὰ τί; ὅτι ταῦτα μὲν αὑτῷ συνήδει πεπραγμένα, καὶ δοῦλος ἦν τῶν ῥημάτων τούτων. Οὔκουν προσῆει

leur audace, enchaîne leur langue, leur ferme la bouche, y étouffe la parole, et les condamne au silence.

Dernièrement, vous ne l'avez pas oublié, dans la récente assemblée du Pirée, où vous refusiez à Eschine une mission, il criait qu'il m'accuserait comme criminel d'État, il poussait mille clameurs. Ces emportements étaient le prélude de longs discours et d'imputations contentieuses. Toutefois, il n'était besoin que de deux ou trois mots forts simples, tels qu'eût pu les trouver l'esclave le plus novice : « Athéniens, voici un fait bien étrange ! Démosthène m'accuse de crimes dont il est complice. Il dit que j'ai reçu de l'argent, et il l'a partagé avec nous. » Mais ce langage était loin de ses lèvres, et nul de vous ne l'a entendu. Au lieu de cela, il menaçait; et pourquoi ? c'est que sa conscience de coupable le faisait trembler comme un esclave devant la désignation de ses attentats. Loin de se porter

τὴν θρασύτητα τὴν τούτων,
τοῦτο ἀποστρέφει τὴν γλῶτταν,
ἐμφράττει τὸ στόμα,
ἄγχει, ποιεῖ σιωπᾷν.
Ἴστε τοίνυν δήπου
τὸ τελευταῖον καὶ πρώην
ἐν Πειραιεῖ,
βοῶντα
ὡς με εἰσαγγελεῖ,
καὶ γράψεται,
καὶ ἰοὺ ἰού,
ὅτε οὐκ εἴᾶτε αὐτὸν
πρεσβεύειν.
Καίτοι ταῦτα μέν ἐστιν ἀρχὴ
ἀγώνων καὶ λόγων
μακρῶν καὶ πολλῶν·
ἐκεῖνα δὲ ῥήματα
ἁπλᾶ,
καὶ ἴσως δύο ἢ τρία,
ἃ καὶ ἄνθρωπος ἐωνημένος
ἐχθὲς ἂν ἠδυνήθη εἰπεῖν·
« Ἄνδρες Ἀθηναῖοι,
τουτὶ τὸ πρᾶγμά
ἐστι πάνδεινον.
Οὑτοσὶ κατηγορεῖ ἐμοῦ ταῦτα
ὧν αὐτὸς γέγονε κοινωνός.
Καὶ φησὶν
ἐμὲ εἰληφέναι χρήματα,
αὐτὸς εἰληφώς,
ἢ μετειληφώς. »
Εἶπε μὲν τοίνυν οὐδὲν τούτων,
οὔτε ἐφθέγξατο,
οὐδὲ οὐδεὶς ὑμῶν
ἤκουσεν.
Ἠπείλει δὲ ἄλλα.
Διὰ τί;
ὅτι συνήδει μὲν αὑτῷ
ταῦτα πεπραγμένα,
καὶ ἦν δοῦλος
τῶν ῥημάτων τούτων.

la hardiesse de ces *hommes;*
cela détourne la langue,
obstrue la bouche,
serre-la-gorge, fait taire.
Vous savez certainement
en dernier lieu et tout récemment
au Pirée,
lui criant (qu'il criait)
qu'il m'accuserait-de-crime-d'État,
et qu'il rédigerait-l'accusation,
et ah! ah!
lorsque vous ne laissiez pas lui
aller-en-ambassade.
Or cela est le commencement
de débats et de discours
longs et nombreux;
ces paroles-ci, au contraire,
sont simples,
et peut-être *seulement* deux ou trois,
lesquelles même un homme acheté
hier aurait pu dire:
« Hommes Athéniens,
cette affaire
est tout-à-fait-étrange.
Cet *homme* accuse moi de ces *faits*
dont lui-même a été complice.
Et il dit
moi avoir (que j'ai) reçu de l'argent,
lui qui *en* a reçu
ou partagé *avec nous.* »
Or *Eschine* ne dit rien de cela,
ni ne *le* prononça,
ni aucun de vous
ne *l'*entendit.
Mais il menaçait d'autres choses.
Pourquoi? [même
parce qu'il avait conscience en lui-
de ces choses faites *par lui,*
et *qu'*il était esclave de (redoutait en
ces paroles-là. [esclave)

πρὸς ταῦθ' ἡ διάνοια, ἀλλ' ἀνεδύετο· ἐπελαμβάνετο γὰρ αὐτῆς τὸ συνειδέναι. Λοιδορεῖσθαι δὲ ἄλλα ἄττα, οὐδεὶς ἐκώλυεν αὐτόν, οὐδὲ βλασφημεῖν.

Ὁ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος, ἀλλ' ἔργον. Βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια, ὥςπερ ἐπρέσβευσα δίς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δίς, προελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς, ἔχων μάρτυρας πολλούς, ἀπηγόρευε μὴ καλεῖν ἐμὲ εἰς τὸ δικαστήριον, ὡς δεδωκότα εὐθύνας, καὶ οὐκ ὄντα ὑπεύθυνον. Καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον. Τί οὖν ἦν τοῦτο; τῆς προτέρας ἐκείνης πρεσβείας, ἧς οὐδεὶς κατηγόρει, δοὺς λόγον, οὐκ ἔτ' ἠβούλετο αὖθις περὶ ταύτης εἰσιέναι, ἧς νῦν εἰσέρχεται, ἐν ᾗ πάντα τἀδικήματα ἐνῆν. Ἐκ δὲ τοῦ ὀὶς ἐμὲ εἰςελθεῖν, ἀνάγκη περι-

de ce côté, sa pensée s'en échappait, refoulée par le remords; mais il se trouvait libre dans la carrière de l'injure et de l'invective.

Voici qui surpasse tout; voici, non des paroles, mais un fait. Ayant rempli deux missions, je voulais, avec justice, rendre compte deux fois. Eschine, accompagné de nombreux témoins, se présente aux vérificateurs des comptes, et s'oppose à ce que je sois appelé à leur tribunal, sous prétexte qu'ayant subi l'examen, je n'étais plus responsable. Cette démarche était le chef-d'œuvre du ridicule; mais quel en fut le motif? Eschine, qui avait rendu compte de la première ambassade, pour laquelle il n'était pas accusé, ne voulait pas se soumettre à un nouveau contrôle pour la seconde, objet du procès actuel, et qui renfermait toute la masse des délits. Or, me présenter

Ἡ διάνοια οὔκουν προσήει
πρὸς ταῦτα,
ἀλλὰ ἀνεδύετο·
τὸ γὰρ συνειδέναι
ἐπελαμβάνετο αὐτῆς.
Οὐδεὶς δὲ ἐκώλυεν αὐτὸν
λοιδορεῖσθαι
ἄλλα ἄττα,
οὐδὲ βλασφημεῖν.
Ὃ τοίνυν μέγιστον
ἁπάντων,
καὶ οὐ λόγος,
ἀλλὰ ἔργον.
Βουλομένου γὰρ ἐμοῦ
τὰ δικαία,
καὶ δοῦναι δὶς
λόγον ὑμῖν
οὕτως ὥσπερ ἐπρέσβευσα
δίς,
Αἰσχίνης οὑτοσὶ προσελθὼν
τοῖς λογισταῖς,
ἔχων πολλοὺς μάρτυρας,
ἀπηγόρευε μὴ καλεῖν ἐμὲ
εἰς τὸ δικαστήριον,
ὡς δεδωκότα εὐθύνας,
καὶ οὐκ ὄντα ὑπεύθυνον.
Καὶ τὸ πρᾶγμα ἦν
ὑπεργέλοιον.
Τί οὖν
τοῦτο ἦν;
δοὺς λόγον
ἐκείνης πρεσβείας
τῆς προτέρας,
ἧς οὐδεὶς κατηγόρει,
οὐκ ἠβούλετο εἰσιέναι
αὖθις περὶ ταύτης,
ἧς εἰσέρχεται νῦν,
ἐν ᾗ
πάντα τὰ ἀδικήματα ἐνῆν.
Ἐκ δὲ τοῦ

Sa pensée donc ne s'approchait point
de cela,
mais *au contraire*, elle s'*en* échappait;
car le avoir-conscience (la conscience)
refoulait elle.
Mais personne n'empêchait lui
de dire-des-injures
telles quelles,
ni de calomnier.
Mais *voici ce* qui *est* le plus fort
de tout,
et non-*seulement* des paroles
mais un fait.
Car moi voulant (comme je voulais)
des choses justes,
et (savoir) rendre deux-fois
compte à vous
de même que j'ai été-en-mission
deux fois,
Eschine ici-présent s'étant approché
des vérificateurs-des-comptes,
ayant *avec lui* beaucoup de témoins,
dissuadait de citer moi
au tribunal,
comme ayant rendu *mes* comptes,
et n'étant *plus* responsable.
Et l'action était
extrêmement-ridicule.
Qu'est-ce donc
que cela était (à quelle intention)?
ayant rendu compte
de cette ambassade
la première,
que nul ne dénonçait,
il ne voulait pas comparaître
encore au-sujet-de celle-ci, [nant,
pour laquelle il comparaît maintedans laquelle
toutes les prévarications étaient.
Or, comme-conséquence de ceci *que*

ἵστατο καὶ τούτῳ πάλιν εἰσιέναι. Διὰ ταῦτα οὐκ εἶα καλεῖν. Καίτοι τοῦτο τὸ ἔργον, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερ' ὑμῖν ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκότα ἑαυτοῦ τοῦτον, ὥστε μηδενὶ ὑμῶν εὐσεβῶς ἔχειν ἀποψηφίσασθαι αὐτοῦ, καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ ἐμοῦ. Εἰ γὰρ εἶχε, τότ' ἂν καὶ λέγων, καὶ κατηγορῶν ἐξητάζετο, οὐ μὰ Δί', οὐκ ἀπηγόρευε καλεῖν. Ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Ἀλλὰ μήν[1], ἐάν γέ τι ἔξω τῆς πρεσβείας βλασφημῇ περὶ ἐμοῦ, κατὰ πολλὰ οὐκ ἂν εἰκότως ἀκούοιτε αὐτοῦ. Οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ οὐδεὶς ἐμοί[2]. Τί οὖν ἐστι ταῦτα, πλὴν δικαίων λόγων ἀπορία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο κρινόμενος, ἔχων ὅ τι ἀπολογήσεται; Ἔτι τοίνυν

deux fois devant les magistrats, c'était lui imposer la nécessité d'y reparaître. De là, sa protestation. Ce fait, ô Athéniens, prouve nettement deux choses : Eschine s'est condamné lui-même, et ôte aujourd'hui à la religion du juge tout moyen de l'absoudre; Eschine ne dira rien de vrai contre moi. Sans cela, loin de m'écarter du tribunal, par Jupiter! il aurait eu hâte de m'accuser. — Appelle les témoins qui confirmeront la vérité de ce fait.

D'ailleurs, s'il ne me répond que par des insultes, étrangères à l'ambassade, vous devez, pour plus d'une raison, refuser de l'entendre. Ce n'est pas moi qui suis l'accusé, et la réplique ne m'est pas accordée. Injurier, est-ce autre chose que manquer de preuves? et l'accusé qui peut se défendre vient-il attaquer? Faites de plus cette

ἐμὲ εἰςελθεῖν
δίς,
ἀνάγκη περιΐστατο καὶ τούτῳ
εἰςιέναι πάλιν.
Διὰ ταῦτα οὐκ εἴα καλεῖν.
Καίτοι τοῦτο τὸ ἔργον,
ὦ ἄνδρες Ἀθηναῖοι,
ἐπιδείκνυσιν ὑμῖν σαφῶς
ἀμφότερα, καὶ τοῦτον
κατεγνωκότα ἑαυτοῦ,
ὥςτε ἀποψηφίσασθαι αὐτοῦ
ἔχειν εὐσεβῶς
μηδενὶ ὑμῶν,
καὶ ἐροῦντα μηδὲν ἀληθὲς
περὶ ἐμοῦ.
Εἰ γὰρ εἶχεν,
ἐξητάζετο ἂν τότε
καὶ λέγων καὶ κατηγορῶν,
οὐ μὰ Δία,
οὐκ ἀπηγόρευε καλεῖν.
Ὡς τοίνυν λέγω ταῦτα
ἀληθῆ,
κάλει μοι
τοὺς μάρτυρας τούτων.
Ἀλλὰ μήν, ἐάν γε βλασφημῇ
περὶ ἐμοῦ
τι ἔξω τῆς πρεσβείας;
Κατὰ τουτὶ τὸ ψήφισμα, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πρέσβεων ἐκείνων ὑμεῖς θάνατον κατεγνώκατε, ὧν εἷς ἦν Ἐπικράτης[1], ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπουδαῖος, καὶ πολλὰ χρήσιμος τῇ πόλει, καὶ τῶν ἐκ Πειραιῶς καταγαγόντων τὸν δῆμον, καὶ ἄλλως δημοτικός. Ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων· δικαίως· οὐ γὰρ ἐφ' ἡμισείᾳ χρηστὸν εἶναι δεῖ τὸν τὰ τηλικαῦτα διοικεῖν ἀξιοῦντα, οὐδέ, τὸ πιστευθῆναι προλαβόντα παρ' ὑμῶν, εἰς τὸ μείζω δύνασθαι κακουργεῖν καταχρῆσθαι· ἀλλ' ἁπλῶς μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα. Εἰ τοίνυν τι τούτων ἄπρακτόν ἐστι τούτοις, ἐφ' οἷς ἐκείνων θάνατος κατέγνωσται, ἐμὲ ἀποκτείνατε ἤδη. Σκοπεῖτε γάρ. «Ἐπειδὴ παρὰ τὰ γράμματα, φησίν, ἐπρέσβευσαν ἐκεῖνοι, καὶ τὸ ψήφισμα,» καὶ τοῦτ'

SENTENCE.

Par cet arrêt, ô Athéniens, vous avez condamné à la peine capitale ces députés qui comptaient parmi eux Épicrate, citoyen zélé et très-utile, disent nos vieillards; un de ceux qui avaient ramené le peuple du Pirée, un démocrate sincère. Rien de tout cela n'a pu, rien n'a dû le sauver. C'est que celui qui s'est chargé de fonctions aussi importantes ne doit pas être intègre à demi, ni s'armer de votre confiance pour vous porter de plus rudes coups; mais ne vous faire aucun tort volontaire est pour lui un absolu devoir. Eh bien! si, de tous les délits qui ont coûté la vie à ces députés, il en est un seul que les nôtres n'aient pas commis, faites-moi mourir à l'instant. Examinez: *Attendu*, dit la sentence, *que les députés ont agi contre leurs instruc-*

ΨΗΦΙΣΜΑ.	SENTENCE.
Κατὰ τουτὶ τὸ ψήφισμα,	D'après cette sentence,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ὑμεῖς κατεγνώκατε θάνατον	vous prononçâtes la mort
ἐκείνων τῶν πρέσβεων	contre ces ambassadeurs
ὧν Ἐπικράτης ἦν εἷς,	dont Épicrate était un,
ἀνὴρ σπουδαῖος,	personnage zélé,
ὡς ἐγὼ ἀκούω	comme je *l'*entends *dire*
τῶν πρεσβυτέρων,	à de plus âgés,
καὶ χρήσιμος τῇ πόλει	et utile à la République
πολλά,	beaucoup,
καὶ τῶν καταγαγόντων	et *l'un* de ceux qui ramenèrent
τὸν δῆμον ἐκ Πειραιῶς,	le peuple du Pirée, [tie.
καὶ ἄλλως δημοτικός.	et d'ailleurs partisan-de-la-démocra-
Ἀλλὰ ὅμως οὐδὲν τούτων	Mais cependant rien de cela
ὠφέλησεν αὐτόν·	ne secourut lui :
δικαίως·	*c'était* avec-justice : [mande
οὐ γὰρ δεῖ τὸν ἀξιοῦντα	car il ne faut pas *que* celui qui de-
διοικεῖν	à administrer
τὰ τηλικαῦτα	des *affaires* si-importantes
εἶναι χρηστὸν ἐπὶ ἡμισείᾳ,	soit honnête *homme* à demi,
οὐδὲ προλαβόντα	ni *que*, se-prévalant
τὸ πιστευθῆναι παρὰ ὑμῶν	d'être cru par vous,
καταχρῆσθαι	il *en* abuse
εἰς τὸ δύνασθαι	pour pouvoir
κακουργεῖν μείζω·	faire-des-maux plus grands ; [rien
ἀλλὰ ἁπλῶς ἀδικεῖν μηδὲν	mais *il faut* absolument ne nuire en
ὑμᾶς ἑκόντα.	à vous volontairement.
Εἰ τοίνυν τι τούτων	Or, si l'un de ces *griefs*
ἐπὶ οἷς θάνατος	pour lesquels la mort
κατέγνωσται ἐκείνων,	fut prononcée-contre eux
ἐστὶν ἄπρακτον	est non-commis
τούτοις,	par ceux-ci (Eschine et Philocrate),
ἀποκτείνατε ἐμὲ ἤδη.	faites-mourir moi à l'instant.
Σκοπεῖτε γάρ.	Examinez, en effet.
« Ἐπειδή, φησίν,	« Considérant, dit *la sentence*,
ἐκεῖνοι ἐπρέσβευσαν	*que* ces *hommes* ont rempli-leur-
παρὰ τὰ γράμματα	contrairement aux lettres [mission
καὶ τὸ ψήφισμα, »	et au décret, »

ἔστι τῶν ἐγκλημάτων τὸ πρῶτον. Οὗτοι δὲ οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν ψήφισμα Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις εἶναι κελεύει τὴν εἰρήνην; οὗτοι δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; Οὐ τὸ μὲν ψήφισμα τοὺς ἄρχοντας ὁρκοῦν, τοὺς ἐν ταῖς πόλεσιν; οὗτοι δέ, οὓς ὁ Φίλιππος αὐτοῖς προσέπεμψε, τούτους ὤρκισαν; Οὐ τὸ μὲν ψήφισμα οὐδαμοῦ μόνους ἐντυγχάνειν Φιλίππῳ; οὗτοι δ' οὐδὲν ἐπαύσαντο ἰδίᾳ χρηματίζοντες; «Καὶ ἠλέγχθησάν τινες αὐτῶν ἐν τῇ βουλῇ οὐ τἀληθῆ ἀπαγγέλλοντες.» Οὗτοι δέ γε καὶ ἐν τῷ δήμῳ. Καὶ ὑπὸ τοῦ (τοῦτο γάρ ἐστι τὸ λαμπρόν); ὑπ' αὐτῶν τῶν πραγμάτων. Οἷς γὰρ ἀπήγγειλαν οὗτοι, πάντα δήπου γέγονε τἀναντία. «Οὐδ' ἐπιστέλλοντες, φησί, τἀληθῆ.» Οὐκοῦν οὐδ' οὗτοι. «Καὶ καταψευδόμενοι τῶν

tions. Premier grief. Les instructions! ceux-ci ne les ont-ils pas violées? Le décret n'ordonne-t-il pas que la paix s'étende aux Athéniens et à leurs alliés? et n'en ont-ils pas exclu la Phocide? Qu'on recevra, dans chaque ville, le serment des chefs? et ne se sont-ils pas contentés de la parole de ceux que leur envoyait Philippe? Que toute conférence particulière avec le prince est interdite? et ont-ils cessé un instant leurs négociations privées? — *Attendu que plusieurs d'entre eux ont été convaincus d'avoir fait de faux rapports au Conseil.* Mais ceux-ci en ont osé faire devant le peuple; et comment sont-ils convaincus? par la preuve la plus éclatante, par les faits: car il est arrivé tout le contraire de ce qu'ils ont annoncé. — *Qu'ils ont écrit des impostures.* Ceux-ci n'en ont-ils pas écrit? — *Qu'ils ont trompé*

καὶ τοῦτο ἔστι τὸ πρῶτον	et cela est le premier
τῶν ἐγκλημάτων.	des griefs.
Οὗτοι δὲ	Mais ceux-ci
οὐ	n'*ont-ils* pas *rempli leur mission*
παρὰ τὰ γράμματα;	contrairement aux lettres?
οὐ τὸ μὲν ψήφισμα κελεύει	le décret n'ordonne-t-il point
τὴν εἰρήνην εἶναι Ἀθηναίοις	*que* la paix soit pour les Athéniens
καὶ τοῖς συμμάχοις Ἀθηναίων;	et les alliés des Athéniens?
οὗτοι δὲ ἀπέφηναν	et ceux-ci *n'*ont-ils *pas* déclaré
Φωκέας ἐκσπόνδους;	les Phocidiens exclus-du-traité?
Οὐ τὸ μὲν ψήφισμα	Le décret n'*ordonne-t-il* point
ὀρκοῦν τοὺς ἄρχοντας,	d'admettre-au-serment les chefs,
τοὺς ἐν ταῖς πόλεσιν;	dans les républiques?
οὗτοι δὲ ὤρκισαν	et ceux-ci *n'*ont-ils *pas* fait-jurer
τούτους οὓς ὁ Φίλιππος	ceux-là *seuls* que Philippe
προσέπεμψεν αὐτοῖς;	envoya près d'eux?
Οὐ τὸ μὲν ψήφισμα	Le décret n'*ordonne-t-il* point
ἐντυγχάνειν	de *ne* se trouver
οὐδαμοῦ μόνους Φιλίππῳ;	nulle part seuls avec Philippe?
οὗτοι δὲ ἐπαύσαντο οὐδὲν	et ceux-ci cessèrent-ils en rien
χρηματίζοντες	traitant (de traiter)
ἰδίᾳ;	en particulier *avec ce prince*?
« Καί τινες αὐτῶν	« *Considérant* aussi *que* quelques-
ἠλέγχθησαν	ont été convaincus [uns d'eux
ἀπαγγέλλοντες	rapportant (de rapporter)
οὐ τὰ ἀληθῆ	des choses non véritables
ἐν τῇ βουλῇ. »	dans le Conseil. »
Οὗτοι δέ γε	Mais ceux-ci même [ple.
καὶ ἐν τῷ δήμῳ.	*en ont rapporté* aussi devant le peu-
Καὶ ὑπὸ τοῦ	Et par quoi *en sont-ils convaincus*
(τοῦτο γάρ ἐστι τὸ λαμπρόν);	(car ceci est le *point* éclatant)?
ὑπὸ τῶν πραγμάτων αὐτῶν.	par les événements eux-mêmes.
Πάντα γὰρ δήπου γέγονε	Car toutes choses certainement sont
τὰ ἐναντία οἷς	contraires à *celles* que [arrivées
οὗτοι ἀπήγγειλαν.	ces *gens*-ci déclarèrent.
« Οὐδὲ ἐπιστέλλοντες	« Et n'écrivant (de ne pas écrire)
τὰ ἀληθῆ, »	la vérité, »
φησί.	dit *encore la sentence.*
Οὐκοῦν οὐδὲ οὗτοι.	Donc, ni ceux-ci *non plus.*
« Καὶ καταψευδόμενοι	« Et mentant (d'avoir menti)

συμμάχων, καὶ δῶρα λαμβάνοντες.» Ἀντὶ μὲν τοίνυν τοῦ κατα-
ψεύδεσθαι, παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ δήπου τοῦτο τοῦ
καταψεύσασθαι δεινότερον. Ἀλλὰ μήν, ὑπέρ γε τοῦ δῶρα εἰλη-
φέναι, εἰ μὲν ἠρνοῦντο, ἐξελέγχειν τὸ λοιπὸν ἂν ἦν· ἐπειδὴ δ'
ὁμολογοῦσιν, ἀπάγειν δήπου προσῆκε. Τί οὖν, ὦ ἄνδρες Ἀθη-
ναῖοι; τούτων οὕτως ἐχόντων, ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ὄντες,
οἱ δὲ καί τινες αὐτῶν ἔτι ζῶντες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην
τοῦ δήμου, καὶ τὸν ἐκ Πειραιῶς Ἐπικράτην, ἐκπεσεῖν καὶ κο-
λασθῆναι; καὶ πάλιν πρώην Θρασύβουλον, ἐκείνου τοῦ Θρασυ-
βούλου, τοῦ δημοτικοῦ, υἱόν, καὶ τοῦ ἀπὸ Φυλῆς καταγαγόντος
τὸν δῆμον, τάλαντα δέκα ὠφληκέναι, καὶ τὸν ἀφ' Ἁρμοδίου[1], καὶ
τῶν τὰ μέγιστα ἀγαθὰ εἰργασμένων ὑμᾶς, οὓς νόμῳ, διὰ τὰς
εὐεργεσιας, ἃς ὑπῆρξαν εἰς ὑμᾶς, ἐν ἅπασι τοῖς ἱεροῖς, ἐπὶ ταῖς

nos alliés, et reçu des présents. Au mot *trompé* substituez *exterminé :* attentat, certes, bien plus sanglant! Pour les présents, s'ils niaient en avoir reçu, resterait à les en convaincre : mais ils l'avouent! Envoyez-les donc au supplice. Eh quoi, Athéniens! vous, les fils de ceux mêmes qui ont rendu cette sentence, vous, dont quelques-uns ont siégé près d'eux, vous aurez souffert qu'un des généreux auteurs de la restauration populaire, Épicrate, fût puni, fût déchu de ses droits; que, récemment encore, une amende de dix talents fût imposée à Thrasybule, fils du célèbre démocrate de ce nom, qui a ramené le peuple de Phylé, et à l'un des descendants d'Harmodios, de l'un de ces bienfaiteurs suprêmes, qu'une loi, reconnaissante pour leurs antiques services, admet à partager vos libations dans tous les

τῶν συμμάχων,
καὶ λαμβάνοντες δῶρα. »
Ἀντὶ μὲν τοίνυν
τοῦ καταψεύδεσθαι,
ἀπολωλεκότες
παντελῶς·
τοῦτο δὲ πολλῷ δεινότερον δήπου
τοῦ καταψεύσασθαι.
Ἀλλὰ μήν, ὑπέρ γε τοῦ εἰληφέναι
δῶρα,
εἰ μὲν ἠρνοῦντο,
τὸ λοιπὸν ἂν ἦν ἐξελέγχειν·
ἐπειδὴ δὲ ὁμολογοῦσι,
προσῆκε δήπου
ἀπάγειν.
Τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι;
τούτων ἐχόντων οὕτως,
ὑμεῖς ὄντες
ἐκείνων τῶν ἀνδρῶν,
οἱ δὲ καί τινες αὐτῶν
ἔτι ζῶντες,
ὑπομενεῖτε
Ἐπικράτην μέν,
τὸν εὐεργέτην τοῦ δήμου,
καὶ τὸν ἐκ Πειραιῶς,
ἐκπεσεῖν καὶ κολασθῆναι;
καὶ πάλιν πρώην
Θρασύβουλον,
υἱὸν ἐκείνου τοῦ Θρασυβούλου,
τοῦ δημοτικοῦ,
καὶ τοῦ καταγαγόντος τὸν δῆμον
ἀπὸ Φυλῆς,
ὠφληκέναι
δέκα τάλαντα,
καὶ τὸν ἀπὸ Ἁρμοδίου,
καὶ τῶν εἰργασμένων ὑμᾶς
τὰ μέγιστα ἀγαθά,
οὓς νόμῳ,
διὰ τὰς εὐεργεσίας
ἃς ὑπῆρξαν εἰς ὑμᾶς,

aux alliés, [sents.»
et recevant (d'avoir reçu) des pré-
Or, au lieu de
mentir (avoir menti),
mettez ayant (avoir) détruit
complétement:
et ceci est beaucoup plus criminel
que d'avoir menti. [certes
D'ailleurs, quant à avoir reçu
des présents,
s'ils *le* niaient,
resterait *à les en* convaincre:
mais, puisqu'ils *l'*avouent,
il conviendrait certes
de *les* mener *au supplice*.
Quoi donc, ô hommes Athéniens,
cela étant ainsi,
vous, qui êtes
les fils de ces hommes (de ces juges),
et même quelques-uns d'eux
encore vivants,
endurerez-vous
que, d'une-part, Épicrate,
bienfaiteur du peuple,
l'un *des auteurs du retour* du Pirée,
ait été déchu et ait été puni;
et *qu'*encore nouvellement
Thrasybule,
fils du célèbre Thrasybule
le démocrate,
qui ramena le peuple
de Phylé,
ait dû (été condamné à payer)
dix talents,
et *que* le *descendant* d'Harmodius,
d'un de ceux qui firent à vous
les plus grands biens,
gens que, par une loi,
à cause des bons-services
qu'ils rendirent à vous,

θυσίαις, σπονδῶν καὶ κρατήρων κοινωνοὺς πεποίησθε, καὶ ᾄδετε καὶ τιμᾶτε ἐξίσου τοῖς ἥρωσι καὶ τοῖς θεοῖς, τούτους μὲν πάντας τὴν ἐκ τῶν νόμων δίκην ὑπεσχηκέναι, καὶ μήτε συγγνώμην, μήτ' ἔλεον, μήτε παιδία κλάοντα ὀμώνυμα τῶν εὐεργετῶν, μήτ' ἄλλο μηδὲν αὐτοὺς ὠφεληκέναι· τὸν δὲ Ἀτρομήτου, τοῦ γραμματιστοῦ, καὶ Γλαυκοθέας, τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια[1], τοῦτον ὑμεῖς λαβόντες ἀφήσετε, τὸν τῶν τοιούτων, τὸν οὐδὲ καθ' ἓν χρήσιμον τῇ πόλει, οὐκ αὐτόν, οὐ πατέρα, οὐκ ἄλλον οὐδένα τῶν τούτου; Ποῖος γὰρ ἵππος; ποία τριήρης; ποία στρατεία; τίς χορός; τίς λειτουργία; τίς εἰσφορά; τίς εὔνοια[2]; ποῖος κίνδυνος; τί τῶν ἁπάντων, ἐν

sacrifices et dans tous les temples, que vous chantez, que vous révérez à l'égal des héros et des dieux; vous aurez vu tous ces citoyens subir des peines légales; indulgence, pitié, larmes de petits enfants dont les noms rappelaient tant de dévouement, rien n'aura pu les secourir : et le fils d'un Atromète, d'un maître d'école, et d'une Glaucothée, d'une meneuse de bacchantes, ignoble sacerdoce qui a été puni de mort dans une autre, un homme qui est dans vos mains, vous le lâcherez, quand il est d'un sang aussi vil, quand il n'a rien fait pour l'État, ni lui, ni son père, ni aucun de sa race! Où sont, en effet, leurs dons en chevaux, en trirèmes? Quelles furent leurs campagnes, leurs chorégies, leurs charges publiques? Montrez-nous leurs contributions, leurs sacrifices volontaires, leurs périlleux travaux? De tant de services, en ont-ils jamais offert un seul à la patrie?

πεποίησθε κοινωνοὺς	vous avez faits participants
σπονδῶν καὶ κρατήρων	des libations et des coupes
ἐν ἅπασι τοῖς ἱεροῖς,	dans tous les temples,
ἐπὶ ταῖς θυσίαις,	pendant les immolations,
καὶ ᾄδετε καὶ τιμᾶτε	et *que* vous chantez et honorez
ἐξίσου τοῖς ἥρωσι καὶ τοῖς θεοῖς,	à l'égal des héros et des dieux,
τούτους μὲν πάντας ὑπεσχηκέναι	*que* tous ces *gens*-là aient subi
τὴν δίκην ἐκ τῶν νόμων,	la peine d'après les lois,
καὶ μήτε συγγνώμην, μήτε ἔλεον,	et *que* ni indulgence, ni pitié,
μήτε παιδία	ni petits-enfants,
ὁμώνυμα	portant-le-même-nom
τῶν εὐεργετῶν	*que* vos bienfaiteurs,
κλάοντα,	pleurants,
μήτε μηδὲν ἄλλο	ni aucune autre considération
ὠφεληκέναι αὐτούς·	*n'*ait servi eux;
ὑμεῖς δὲ	*que*, d'autre-part, vous,
λαβόντες τοῦτον,	ayant pris celui-ci,
τὸν Ἀτρομήτου,	*fils* d'Atromète,
τοῦ γραμματιστοῦ,	le maître d'école,
καὶ Γλαυκοθέας, τῆς συναγούσης	et de Glaucothée, qui menait
τοὺς θιάσους,	les troupes-de-bacchantes,
ἐπὶ οἷς	*faits* pour lesquels
ἑτέρα ἱέρεια τέθνηκεν,	une autre prêtresse fut mise-à-mort,
ἀφήσετε,	vous *l'*absolviez,
τὸν τῶν τοιούτων,	lui, *fils* de tels *parents*,
τὸν χρήσιμον τῇ πόλει	utile à la République
οὐδὲ κατὰ ἕν,	pas même en une seule chose,
οὐκ αὐτόν, οὐ πατέρα,	ni lui, ni *son* père,
οὐκ οὐδένα ἄλλον τῶν τούτου;	ni aucun autre des *parents* de lui?
Ποῖος γὰρ ἵππος;	Car quel cheval *fut donné par eux?*
ποία τριήρης;	quelle trirème *fut équipée?*
ποία στρατεία;	quelle expédition-militaire *fut faite?*
τίς χορός;	quel chœur *fut défrayé?*
τίς λειτουργία;	quelle charge-onéreuse *fut remplie?*
τίς εἰσφορά;	quelle contribution?
τίς εὔνοια;	quel don-volontaire?
ποῖος κίνδυνος;	quel danger *fut affronté par eux?*
τί τῶν ἁπάντων	lequel de tous *les services*
γέγονε τῇ πόλει	fut *rendu* à l'État
παρὰ τούτων	par eux

παντὶ τῷ χρόνῳ γέγονε παρὰ τούτων τῇ πόλει; Καίτοι, κἂν εἰ ταῦτα πάντα ὑπῆρχεν, ἐκεῖνο δὲ μὴ προςῆν, τὸ δικαίως καὶ προῖκα πεπρεσβευκέναι, ἀπολωλέναι δήπου προςῆκεν αὐτόν. Εἰ δὲ μήτε ταῦτα, μήτ' ἐκεῖνα, οὐ τιμωρήσεσθε; οὐκ ἀναμνησθήσεσθε, ὧν οὗτος κατηγορῶν ἔλεγε Τιμάρχου[1]; ὡς οὐδέν ἐστιν ὄφελος πόλεως, ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας ἔχει· οὐδὲ πολιτείας, ἐν ᾗ συγγνώμη καὶ παραγγελία τῶν νόμων μεῖζον ἰσχύουσιν· οὐδ' ἐλεεῖν ὑμᾶς οὔτε τὴν μητέρα δεῖ τὴν Τιμάρχου, γραῦν γυναῖκα, οὔτε τὰ παιδία, οὔτ' ἄλλον οὐδένα· ἀλλ' ἐκεῖνο ὁρᾷν, ὅτι, εἰ προήσεσθε τὰ τῶν νόμων, καὶ τὰ τῆς πολιτείας, οὐχ εὑρήσετε τοὺς ὑμᾶς αὐτοὺς ἐλεήσοντας. Ἀλλ' ὁ μὲν ταλαίπωρος ἄνθρωπος ἠτίμωται, ὅτι τοῦτον εἶδεν ἀδικοῦντα, τούτῳ δ' ἀθώῳ δώσετε εἶναι; διὰ τί; εἰ γὰρ παρὰ τῶν εἰς ἑαυτοὺς

Eh! quand ils les auraient rendus tous, l'iniquité, la vénalité de l'ambassade d'Eschine mériteraient encore la mort. Mais, s'il fut inutile citoyen et député perfide, ne le punirez-vous pas? Ne vous rappellerez-vous point ces paroles de l'accusateur de Timarque? « N'attendons rien d'un État sans énergie contre les coupables, rien d'un gouvernement où les sollicitations et la pitié l'emportent sur les lois. Ne vous laissez attendrir ni par le grand âge de la mère de Timarque, ni par ses jeunes enfants, ni par personne; ne voyez qu'une chose, c'est que, si vous délaissez les lois et le gouvernement, vous ne trouverez personne pour s'attendrir sur vous. » Un infortuné a donc été frappé de mort civile pour avoir connu les crimes d'Eschine, et vous

ἐν παντὶ τῷ χρόνῳ;
Καίτοι, καὶ ἂν εἰ πάντα ταῦτα
ὑπῆρχεν,
ἐκεῖνο δὲ μὴ προσῆν,
τὸ πεπρεσβευκέναι
δικαίως
καὶ προῖκα,
προσῆκε δήπου
αὐτὸν ἀπολωλέναι.
Εἰ δὲ
μήτε ταῦτα,
μήτε ἐκεῖνα,
οὐ τιμωρήσεσθε;
οὐκ ἀναμνησθήσεσθε
ὧν οὗτος ἔλεγε
κατηγορῶν Τιμάρχου;
ὡς οὐδὲν ὄφελος
ἐστὶ πόλεως,
ἥτις μὴ ἔχει νεῦρα
ἐπὶ τοὺς ἀδικοῦντας·
οὐδὲ πολιτείας ἐν ᾗ
συγγνώμη καὶ παραγγελία
ἰσχύουσι μεῖζον τῶν νόμων·
οὐδὲ δεῖ ὑμᾶς ἐλεεῖν
οὔτε τὴν μητέρα τὴν Τιμάρχου,
γραῦν γυναῖκα,
οὔτε τὰ παιδία,
οὔτε οὐδένα ἄλλον·
ἀλλὰ ὁρᾶν ἐκεῖνο, ὅτι
οὐχ εὑρήσετε
τοὺς ἐλεήσοντας
ὑμᾶς αὐτούς,
εἰ προήσεσθε
τὰ τῶν νόμων,
καὶ τὰ τῆς πολιτείας.
Ἀλλὰ ὁ μὲν ἄνθρωπος ταλαίπωρος
ἠτίμωται,
ὅτι εἶδε
τοῦτον ἀδικοῦντα,
δώσετε δὲ

en tout temps?
Cependant, même si tous ces *services*
subsistaient,
et *que* ceci ne s'*y* joignît point,
à savoir s'être acquitté-de-l'ambas-
avec-justice [sade
et avec-désintéressement,
il conviendrait certes
*qu'*il périt.
Mais si *chez lui n'existait*
ni ceci (le dévouement du citoyen),
ni cela (l'intégrité du député),
ne punirez-vous pas *Eschine*?
ne vous rappellerez-vous point
les paroles que cet *homme* disait
en accusant Timarque?
il disait qu'aucun appui
n'est à une ville
qui n'a point de nerf
contre ceux qui prévariquent;
ni à un gouvernement dans lequel
indulgence et intercession
peuvent plus que les lois;
*qu'*il ne faut pas *que* vous ayez-pitié
ni de la mère de Timarque,
vieille femme,
ni de ses jeunes-enfants,
ni d'aucune autre *personne;*
mais *qu'il faut* voir ceci, que
vous ne trouverez pas
gens disposés-à-s'apitoyer
sur vous-mêmes,
si vous laissez-à-l'abandon
les *intérêts* des lois,
et les *intérêts* du gouvernement.
Eh bien! un homme malheureux
a été dégradé-civilement,
parce qu'il a vu
celui-ci prévariquant,
et vous accorderez cependant

ἐξαμαρτανόντων τηλικαύτην ἠξίωσε δίκην Αἰσχίνης λαβεῖν· παρὰ τῶν εἰς τὰ τῆς πόλεως τηλικαῦθ' ἡμαρτηκότων, ὧν εἷς οὗτος ὢν ἐξελέγχεται, πηλίκην ὑμᾶς προσήκει λαβεῖν, τοὺς ὀμωμοκότας καὶ δικάζοντας; « Νὴ Δί', οἱ νέοι γὰρ ὑμῖν δι' ἐκεῖνον τὸν ἀγῶνα ἔσονται βελτίους.» Οὐκοῦν καὶ διὰ τοῦτόν γε οἱ πολιτευόμενοι, δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει. Προσήκει δὲ καὶ τούτων φροντίζειν.

Ἵνα τοίνυν εἰδῆθ', ὅτι καὶ τοῦτον ἀπώλεσε, τὸν Τίμαρχον, οὐ μὰ Δί' οὐχὶ τῶν ὑμετέρων παίδων, ὅπως ἔσονται σώφρονες, προορῶν (εἰσὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ νῦν σώφρονες· μὴ γὰρ οὕτω γένοιτο κακῶς τῇ πόλει, ὥστε Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν δεηθῆναι τοὺς νεωτέρους)· ἀλλ' ὅτι βουλεύων ἔγρα-

laisserez impuni le criminel! Et pourquoi? Si Eschine crut que des citoyens coupables envers eux seuls méritaient une telle rigueur, par quelle peine ferez-vous expier des torts énormes envers la république, vous qui jugez sur la foi de votre serment? « Je le jure, disait-il encore, la condamnation de Timarque réformera nos jeunes citoyens. » Eh bien! la sienne réformera nos hommes politiques, qui jettent la patrie dans les derniers périls : or, ceux-là aussi doivent éveiller votre sollicitude.

Les mœurs de vos enfants! non, par Jupiter! tel n'a pas été son but lorsqu'il a perdu Timarque. Leurs mœurs, ô Athéniens, se soutiennent d'elles-mêmes; et puisse la République ne pas devenir assez malheureuse pour que sa jeunesse ait besoin de réformateurs tels qu'un Aphobétos et un Eschine! Son motif, sachez-le bien, c'était le

τούτῳ εἶναι ἀθώῳ;
διὰ τί; εἰ γὰρ Αἰσχίνης
ἠξίωσε
λαβεῖν δίκην τηλικαύτην
παρὰ τῶν ἐξαμαρτανόντων
εἰς ἑαυτούς,
πηλίκην προσήκει
ὑμᾶς λαβεῖν
παρὰ τῶν ἡμαρτηκότων
τηλικαῦτα
εἰς τὰ τῆς πόλεως,
ὧν οὗτος ἐξελέγχεται
ὢν εἷς,
τοὺς ὀμωμοκότας καὶ δικάζοντας;
« Νὴ Δία,
οἱ γὰρ νέοι ὑμῖν
ἔσονται βελτίους
διὰ ἐκεῖνον τὸν ἀγῶνα. »
Οὐκοῦν καὶ οἱ πολιτευόμενοι
διὰ τοῦτόν γε,
διὰ ὧν
τὰ μέγιστα κινδυνεύεται
τῇ πόλει.
Προσήκει δὲ
φροντίζειν καὶ τούτων.
Ὅπως τοίνυν εἰδῆτε
ὅτι καὶ ἀπώλεσε
τοῦτον τὸν Τίμαρχον,
οὐ μὰ Δία οὐχὶ προορῶν
τῶν ὑμετέρων παίδων,
ὅπως ἔσονται σώφρονες
(εἰσὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι,
σώφρονες καὶ νῦν·
μὴ γὰρ γένοιτο κακῶς
τῇ πόλει
οὕτως ὥστε τοὺς νεωτέρους
δεηθῆναι
Ἀφοβήτου καὶ Αἰσχίνου
σωφρονιστῶν)·
ἀλλὰ ὅτι

à celui-ci d'être impuni!
pourquoi? car si Eschine
a cru-convenable [grave
de prendre (faire subir) peine si-
à des *gens* qui étaient-coupables
envers eux-mêmes,
quelle *peine* convient-il
que vous fassiez-subir
à ceux qui ont prévariqué
si-gravement
contre les *intérêts* de la cité,
coupables dont celui-ci est convaincu
étant (d'être) un,
vous, *dis-je*, ayant juré et jugeant?
« Par Jupiter, *disait-il encore*,
les jeunes gens chez vous
seront meilleurs
par ce procès-ci. »
Donc, aussi les hommes-politiques
seront meilleurs par ce *procès*-ci,
eux par qui
les plus grands risques-sont-courus
dans la République.
Or, il convient
de songer aussi à ceux-là.
Or, afin que vous sachiez
qu'il a perdu
ce Timarque,
non, par Jupiter, en prévoyant (par
pour vos enfants, [prévoyance)
afin qu'ils soient chastes
(car ils sont, ô hommes Athéniens!
chastes même maintenant;
et puisse-t-il ne point arriver mal
à la République
au point que les jeunes gens
avoir (aient) besoin
d'Aphobétos et d'Eschine
pour moralistes);
mais *qu'il l'a perdu* parce que,

ψεν, ἄν τις ὡς Φίλιππον ὅπλα ἄγων ἁλῷ, ἢ σκεύη τριηρικά, θάνατον εἶναι τὴν ζημίαν. Σημεῖον δέ· πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος; πολύν[1]. Οὐκοῦν τοῦτον ἦν Αἰσχίνης ἅπαντα ἐν τῇ πόλει, καὶ οὐδεπώποτε ἠγανάκτησεν, οὐδὲ δεινὸν ἡγήσατο εἶναι τὸ πρᾶγμα, εἰ ὁ τοιοῦτος λέγει, ἕως εἰς Μακεδονίαν ἐλθών, ἑαυτὸν ἐμίσθωσε Φιλίππῳ. Λέγε δή μοι τὸ ψήφισμα λαβὼν αὐτὸ τὸ τοῦ Τιμάρχου. Λέγε.

ΨΗΦΙΣΜΑ.

Ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας, μὴ ἄγειν ἐν τῷ πολέμῳ πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μή, θανάτῳ ζημιοῦσθαι, ἀπόλωλε, καὶ ὕβρισται. Ὁ δὲ καὶ τὰ τῶν ὑμετέρων συμμάχων ὅπλα ἐκείνῳ παραδοὺς οὑτοσί, κατηγόρει, καὶ περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοί! δυοῖν μὲν κηδεσταῖν παρεστηκότοιν, οὓς ἰδόντες

décret de mort proposé par Timarque dans le Conseil contre tout citoyen convaincu d'avoir fait passer à Philippe des armes et des agrès de vaisseaux. Je le prouve. Depuis combien de temps Timarque haranguait-il le peuple? depuis longtemps. Or, dans tout cet intervalle, Eschine a pris part à l'administration, et ne s'est jamais indigné de voir un pareil homme à la tribune, jusqu'à son retour de Macédoine, jusqu'à son engagement mercenaire avec Philippe. — Lis le texte du décret de Timarque.

DÉCRET.

Celui donc qui, pour votre salut, a proposé qu'il fût défendu, sous peine capitale, d'envoyer, en temps de guerre, des armes à Philippe, est flétri de mort civile; et celui qui a livré à Philippe les armes de vos alliés, c'est lui qui accusait et qui dissertait sur la prostitution, ô terre! ô ciel! assisté de ce couple de beaux-frères qui ne peut se

βουλεύων — faisant-partie-du-Conseil,
ἔγραψε θάνατον — il proposa-par-écrit *que* la mort
εἶναι τὴν ζημίαν, — fût la punition,
ἄν τις ἁλῷ — si l'on était convaincu
ἄγων ὡς Φίλιππον — conduisant (de conduire) vers Philippe
ὅπλα ἢ σκεύη τριηρικά. — armes ou agrès de vaisseaux.
Σημεῖον δέ· — La preuve, *la voici :*
πόσον γὰρ χρόνον — *depuis* combien de temps
Τίμαρχος ἐδημηγόρει; — Timarque haranguait-il-le-peuple ?
πολύν. — *depuis* un long *temps*.
Οὐκοῦν τοῦτον ἅπαντα — Or, tout ce *temps*,
Αἰσχίνης ἦν ἐν τῇ πόλει, — Eschine était dans la cité,
καὶ οὐδεπώποτε ἠγανάκτησεν, — et jamais il ne s'indigna,
οὐδὲ ἡγήσατο — ni ne crut
τὸ πρᾶγμα εἶναι δεινόν, — *que* la chose fût étrange
εἰ ὁ τοιοῦτος λέγει, — si un tel homme propose-une-loi,
ἕως ἐλθὼν εἰς Μακεδονίαν, — jusqu'à-ce-que, allé en Macédoine,
ἐμίσθωσεν ἑαυτὸν Φιλίππῳ. — il se fût vendu à Philippe.
Λέγε δή μοι λαβὼν — Lis-moi, *l'*ayant pris,
τὸ ψήφισμα αὐτὸ — le décret même
τὸ τοῦ Τιμάρχου. Λέγε. — de Timarque. Lis.

ΨΗΦΙΣΜΑ.

DÉCRET.

Ὁ μὲν τοίνυν γράψας — Donc, d'une part, celui qui écrivit
ὑπὲρ ὑμῶν, — pour vous, *dans un décret*
μὴ ἄγειν ὅπλα — de ne point amener d'armes
πρὸς Φίλιππον — à Philippe
ἐν τῷ πολέμῳ, — pendant la guerre,
εἰ δὲ μή, — sinon (et, si quelqu'un en amenait)
ζημιοῦσθαι θανάτῳ, — d'être puni de mort,
ἀπόλωλε καὶ ὕβρισται. — *celui-là* a péri et a été deshonoré.
Ὁ δὲ παραδοὺς — D'autre part, ayant livré
ἐκείνῳ — à ce *prince*
καὶ τὰ ὅπλα — même les armes
ὑμετέρων συμμάχων, οὑτοσί, — de vos alliés, *l'homme* que-voici,
κατηγόρει, καὶ ἔλεγε — accusait *le premier*, et parlait
περὶ πορνείας, ὦ γῆ καὶ θεοί! — sur la prostitution, ô terre et dieux !
δυοῖν μὲν κηδεσταῖν — *ses* deux beaux-frères
παρεστηκότοιν, — étant-présents,
οὓς ἰδόντες — lesquels voyant (à la vue desquels)

ἂν ὑμεῖς ἀνακράγοιτε, Νικίου τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν εἰς Αἴγυπτον ἐμίσθωσε Χαβρίᾳ, καὶ τοῦ καταράτου Κηρυβίωνος[1], ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ προσώπου κωμάζει. Καὶ τί ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον. Ἀλλὰ δῆτα ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες ὅσοι οἱ περὶ πορνείας ἐρρύησαν λόγοι.

Καὶ μὴν εἰς ὅσην (αἰσχύνην καὶ) ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ τούτων πονηρία καὶ ψευδολογία καταστήσασα ἔχει, πάντα τἀλλα ἀφείς, ἃ πάντες ὑμεῖς ἴστε, ἐρῶ. Πρότερον μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τί παρ' ὑμῖν ἐψήφισται, τοῦτ' ἐπετήρουν οἱ ἄλλοι πάντες Ἕλληνες· νῦν δὲ δὴ περιερχόμεθ' ἡμεῖς, τί δέδοκται τοῖς ἄλλοις, σκοποῦντες, καὶ ὠτακουστοῦντες. Τί τὰ τῶν Ἀρκάδων; τί τὰ τῶν Ἀμφικτυόνων; ποῖ πάρεισι Φίλιππος; ζῇ,

montrer sans soulever la clameur publique, de l'infâme Nicias qui s'est vendu à Chabrias, en Égypte; de l'exécrable Cérybion qui fait, sans masque, la débauche des bacchanales! Que dis-je, Eschine avait devant les yeux son frère Aphobétos! C'est ce jour-là cependant que toutes ses paroles sur les libertins à gages se précipitaient en torrent!

Combien sa perversité, combien ses impostures tiennent encore notre république au-dessous de son rang! Passons, et arrêtons-nous sur ce que vous savez tous. Auparavant, ô Athéniens, tous les Hellènes étaient dans l'attente de vos décrets : aujourd'hui, c'est nous qui courons les nouvelles, c'est nous qui, toujours aux écoutes, épions les décisions des autres : « Que font les Arcadiens? Qu'ont ordonné les Amphictyons? Où va Philippe? Est-il en vie? est-il

ὑμεῖς ἂν ἀνακράγοιτε,
Νικίου τε τοῦ βδελυροῦ,
ὃς ἐμίσθωσεν ἑαυτὸν
Χαβρίᾳ
εἰς Αἴγυπτον,
καὶ τοῦ καταράτου Κηρυβίωνος,
ὃς κωμάζει ἄνευ τοῦ προσώπου
ἐν ταῖς πομπαῖς.
Καὶ τί ταῦτα;
ἀλλὰ
ὁρῶν τὸν ἀδελφὸν Ἀφόβητον.
Ἀλλὰ δῆτα
ἐκείνῃ τῇ ἡμέρᾳ
πάντες ὅσοι λόγοι
οἱ περὶ πορνείας
ἐῤῥύησαν
ἄνω ποταμῶν.
Καὶ μήν,
ἀφεὶς πάντα τὰ ἄλλα,
ἐρῶ ἃ πάντες ὑμεῖς ἴστε,
εἰς ὅσην αἰσχύνην καὶ ἀτιμίαν
ἡ πονηρία καὶ ψευδολογία
τούτων
ἔχει καταστήσασα
τὴν πόλιν ἡμῶν.
Πρότερον μὲν γάρ,
ὦ ἄνδρες Ἀθηναῖοι,
πάντες οἱ ἄλλοι Ἕλληνες
ἐπετήρουν τοῦτο,
τί ἐψήφισται παρὰ ὑμῖν·
νῦν δὲ δὴ
ἡμεῖς περιερχόμεθα, σκοποῦντες
καὶ ὠτακουστοῦντες
τί δέδοκται τοῖς ἄλλοις.
Τί τὰ
τῶν Ἀρκάδων;
τί τὰ
τῶν Ἀμφικτυόνων;
ποῖ Φίλιππος πάρεισι;
ζῇ, ἢ τέθνηκεν;

vous pousseriez-des-clameurs,
savoir, et Nicias l'effronté,
qui s'est vendu lui-même
à Chabrias
pour l'accompagner en Égypte,
et l'exécrable Cérybion,
qui fait-la-débauche sans masque
dans les processions *des bacchana-*
Et pourquoi *parler de* cela? [*les.*
mais, *il parlait*
voyant *son* frère Aphobétos.
Néanmoins certes
en ce jour-là
tous *ses* nombreux discours
sur la prostitution
découlaient [ves.
comme du-haut-du-courant des fleu-
D'ailleurs,
laissant toutes les autres choses,
je dirai *ce* que tous vous savez,
à quelle-grande honte et infamie
la perversité et l'imposture
de ces *députés*
a abaissé
la République de nous.
Précédemment, en effet,
ô hommes Athéniens,
tous les autres Hellènes
attendaient ceci,
savoir, quoi a été décrété chez vous:
maintenant, au contraire,
nous allons-çà-et-là, guettant
et écoutant-de-toutes-nos-oreilles
ce qui a été résolu par les autres.
Que *sont* les *affaires*
des Arcadiens?
que *sont* les *affaires*
des Amphictyons?
où Philippe va-t-il?
vit-il ou est-il mort?

ἢ τέθνηκεν; Οὐ ταῦτα ποιοῦμεν; ἐγὼ δὲ οὐ δέδοικα, εἰ Φίλιππος ζῇ, ἀλλ', εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν, καὶ τιμωρεῖσθαι. Οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ' ὑμῖν ὑγιαίνῃ, ἀλλ', εἰ παρ' ὑμῖν ἄδεια γενήσεται τοῖς παρ' ἐκείνου μισθαρνεῖν βουλομένοις, καὶ συνεροῦσί τινες τούτοις τῶν ὑφ' ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν ἔμπροσθεν χρόνον ἀρνούμενοι μὴ πράττειν ὑπὲρ Φιλίππου, νῦν ἀναβήσονται· ταῦτα φοβεῖ με.

Τί γὰρ δή ποτε, Εὔβουλε, Ἡγησίλεῳ μὲν κρινομένῳ[1], ὃς ἀνεψιός ἐστί σοι, καὶ Θοασυβούλῳ πρῴην, τῷ Νικηράτου θείῳ, ἐπὶ μὲν τῆς πρώτης ψήφου[2], οὐδ' ὑπακοῦσαι καλούμενος ἠθέλησας, εἰς δὲ τὸ τίμημα ἀναβάς, ὑπὲρ μὲν ἐκείνων οὐδ' ὁτιοῦν ἔλεγες, ἐδέου δὲ τῶν δικαστῶν συγγνώμην ἔχειν σοι; Εἶτα ὑπὲρ

mort? » N'est-ce pas là ce qui nous occupe? Pour moi, ce que je crains, ce n'est pas que Philippe soit vivant; c'est que l'horreur des traîtres et l'ardeur à les punir ne soient mortes au cœur de la République. Si vous reprenez votre vigueur, Philippe n'a rien qui m'effraye : mais que, chez vous, l'impunité soit acquise à ceux qui consentent à devenir ses stipendiés; que plusieurs de vos orateurs en crédit parlent pour eux, pour eux montent maintenant à la tribune, après s'être toujours défendus, par le passé, d'agir pour le Macédonien, voilà ce qui m'épouvante!

Car enfin, Eubule, d'où vient que, dans le procès d'Hégésilée, ton cousin, et dernièrement dans celui de Thrasybule, oncle de Nicératos, qui t'appelaient à leur aide, tu gardas le silence au premier tour de scrutin, et qu'à la fixation de la peine, loin de prononcer un mot pour leur défense, tu prias le tribunal de t'excuser? Quoi! tu

Οὐ ποιοῦμεν ταῦτα;
Ἐγὼ δὲ οὐ δέδοικα
εἰ Φίλιππος ζῇ,
ἀλλὰ εἰ τὸ μισεῖν
καὶ τιμωρεῖσθαι
τοὺς ἀδικοῦντας
τῆς πόλεως
τέθνηκεν.
Οὐδὲ Φίλιππος φοβεῖ με,
ἂν τὰ παρὰ ὑμῖν
ὑγιαίνῃ·
ἀλλὰ ταῦτα φοβεῖ με,
εἰ παρὰ ὑμῖν
ἄδεια γενήσεται
τοῖς βουλομένοις μισθαρνεῖν
παρὰ ἐκείνου,
καί τινες,
τῶν πεπιστευμένων ὑπὸ ὑμῶν
συνεροῦσι τούτοις,
καὶ ἀναβήσονται
νῦν
ἀρνούμενοι
πάντα χρόνον τὸν ἔμπροσθεν
μὴ πράττειν ὑπὲρ Φιλίππου.
Τί γὰρ δή ποτε, Εὔβουλε,
ἐπὶ μὲν τῆς πρώτης ψήφου,
καλούμενος οὐδὲ ἠθέλησας
ὑπακοῦσαι Ἡγησίλεῳ μὲν
κρινομένῳ,
ὅς ἐστιν ἀνεψιός σοι,
καὶ πρώην
Θρασυβούλῳ,
τῷ θείῳ Νικηράτου,
ἀναβὰς δὲ
εἰς τὸ τίμημα,
οὐδὲ ἔλεγες μὲν ὁτιοῦν
ὑπὲρ ἐκείνων,
ἐδέου δὲ τῶν δικαστῶν
ἔχειν συγγνώμην σοι;
Εἶτα ὑπὲρ μὲν ἀνθρώπων

Ne faisons-nous pas ces *questions ?*
Pour moi, je ne crains pas
si Philippe est-vivant,
mais si la *disposition à* haïr
et *à* punir
les prévaricateurs,
disposition de la République,
est morte.
Philippe ne m'effraye pas,
si les *intentions* chez vous
sont-saines :
mais ceci m'effraye, *savoir,*
si chez vous
l'impunité subsistera [laire
pour ceux qui veulent recevoir-sa-
de ce *prince,*
et *si* quelques-uns
de ceux qui sont crus par vous
parleront-pour ces *députés,*
et ils monteront
aujourd'hui *près des juges,*
ayant (après avoir) refusé
tout le temps précédemment
d'agir pour Philippe.
Car, pourquoi enfin, Eubule,
au-moment du premier scrutin,
appelé n'as-tu pas voulu
te-rendre-au-désir d'Hégésilée
qu'on-jugeait,
lequel est cousin à toi,
et dernièrement
de Thrasybule,
oncle de Nicérate, [*juges*
et *pourquoi,* étant monté *près des*
pour la fixation-de-la-peine,
n'as-tu dit quoi-que-ce-fût
pour ces *accusés,*
et as-tu demandé aux juges [cuser) ?
d'avoir une excuse pour toi (de t'ex-
Eh quoi ! en-faveur d'hommes

μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀναβαίνεις, ὑπὲρ Αἰσχίνου δὲ ἀναβήσῃ; ὅς, ἡνίκα ἔκρινεν Ἀριστοφῶν Φιλόνεικον[1], καὶ δι' ἐκείνου τῶν σοι πεπραγμένων κατηγόρει, συγκατηγόρει μετ' ἐκείνου σοῦ, καὶ τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο. Ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ δεδιξάμενος, καὶ φήσας καταβαίνειν εἰς Πειραιᾶ δεῖν ἤδη, καὶ χρήματ' εἰσφέρειν, καὶ τὰ θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειροτονεῖν, ἃ συνεῖπε μὲν οὗτος, ἔγραψε δὲ ὁ βδελυρὸς Φιλοκράτης, ἐξ ὧν ἀντὶ καλῆς αἰσχρὰν συνέβη γενέσθαι τὴν εἰρήνην, οὗτοι δ' (ἐπειδὴ) τοῖς μετὰ ταῦτα ἀδικήμασι πάντα ἀπολωλέκασι, τηνικαῦτα διήλλαξαι; καὶ ἐν μὲν τῷ δήμῳ κατηρῶ Φιλίππῳ, καὶ κατὰ τῶν παίδων ὤμνυες, ἢ μὴν ἀπολωλέναι Φίλιππον ἂν βούλεσθαι· νῦν δὲ βοηθήσεις τούτῳ; Πῶς οὖν ἀπολεῖται, ὅταν τοὺς παρ' ἐκείνου δωροδοκοῦντας σὺ

restes muet devant des parents, des amis intimes; et, pour Eschine, tu parleras! pour Eschine qui, lorsque Aristophon accusait Philonique, et, en sa personne, ta conduite dans l'État, s'était porté coaccusateur, et se rangeait parmi tes ennemis! Toi qui, effrayant les Athéniens, avais dit qu'il fallait à l'instant descendre au Pirée, lever des contributions, appliquer à la guerre les finances du théâtre, ou adopter la motion soutenue par Eschine et rédigée par l'infâme Philocrate, motion dont le résultat fut une paix ignominieuse; c'est quand ils ont tout perdu par de nouveaux crimes, que tu te réconcilies avec eux! En présence du peuple, tu as chargé Philippe d'imprécations; tu as juré sur la tête de tes enfants que tu désirais la perte de Philippe, et tu vas prêter ton appui à Eschine! Comment Philippe périra-t-il, si tu sauves ceux qui lui sont vendus? Dénoncia-

συγγενῶν καὶ ἀναγκαίων
οὐκ ἀναβαίνεις,
ἀναβήσῃ δὲ
ὑπὲρ Αἰσχίνου;
ὅς, ἡνίκα Ἀριστοφῶν
ἔκρινε Φιλόνεικον,
καὶ κατηγόρει διὰ ἐκείνου
τῶν πεπραγμένων σοι,
συγκατηγόρει σοῦ μετὰ ἐκείνου,
καὶ ἐξητάζετο εἷς
τῶν ἐχθρῶν τῶν σῶν.
Ἐπειδὴ δὲ σὺ μὲν
δεδιξάμενος τουτουσί,
καὶ φήσας δεῖν
καταβαίνειν ἤδη εἰς Πειραιᾶ,
καὶ εἰσφέρειν
χρήματα,
καὶ ποιεῖν τὰ θεωρικὰ
στρατιωτικά,
ἢ χειροτονεῖν
ἃ οὗτος μὲν συνεῖπε,
Φιλοκράτης δὲ ὁ βδελυρὸς
ἔγραψεν,
ἐξ ὧν συνέβη
τὴν εἰρήνην γενέσθαι αἰσχρὰν
ἀντὶ καλῆς,
ἐπειδὴ οὗτοι δὲ
ἀπολωλέκασι πάντα
ἀδικήμασι
τοῖς μετὰ ταῦτα,
τηνικαῦτα διήλλαξαι;
Καὶ ἐν μὲν τῷ δήμῳ
κατηρῶ Φιλίππῳ,
καὶ ὤμνυες
κατὰ τῶν παίδων,
ἢ μὴν ἂν βούλεσθαι
Φίλιππον ἀπολωλέναι·
νῦν δὲ βοηθήσεις τούτῳ;
Πῶς οὖν ἀπολεῖται,
ὅταν σὺ σώζῃς

tes parents et *tes* intimes
tu ne montes pas *près des juges*,
et tu *y* monteras
en-faveur d'Eschine!
d'Eschine qui, quand Aristophon
mettait-en-jugement Philonique,
et accusait, à-l'occasion-de lui,
les *actes* commis par toi,
t'accusait-de-concert avec lui,
et se rangeait *comme* l'un
de tes ennemis.
Et lorsque toi,
ayant effrayé ces *citoyens*,
et ayant dit *qu'*il fallait
descendre à l'instant au Pirée,
et apporter-comme-contribution
de l'argent,
et faire *que* les *finances* théâtrales
devinssent finances militaires,
ou bien adopter-par-mains-levées
la proposition que celui-ci appuya,
et *que* Philocrate l'effronté
rédigea,
de laquelle il advint
que la paix fut ignominieuse
au-lieu-de honorable,
(lorsque) ceux-ci, d'un-autre-côté,
eurent perdu tout
par les prévarications
celles d'après cela (postérieures),
c'est alors *que* tu t'es réconcilié?
Et, en présence du peuple,
tu maudissais Philippe,
et tu jurais
sur-la-vie de tes enfants
que certainement tu voudrais
que Philippe pérît:
et maintenant tu secourras celui-ci?
Comment donc *Philippe* périra-t-il,
lorsque tu protéges

σώζῃς; Τί γὰρ δήποτε Μοιροκλέα μὲν ἔκρινας[1], εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ' ἑκάστου, καὶ Κηφισοφῶντα γραφὴν ἱερῶν χρημάτων ἐδίωκες, εἰ τρισὶν ὕστερον ἡμέραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ μνᾶς· τοὺς δὲ ἔχοντας, ὁμολογοῦντας, ἐξελεγχομένους ἑαυτοφώρῳ ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα πεποιηκότας, τούτους οὐ κρίνεις, ἀλλὰ καὶ σώζειν κελεύεις; Καὶ μήν, ὅτι ταῦτα μέν ἐστι φοβερά, καὶ προνοίας καὶ φυλακῆς πολλῆς δεόμενα, ἐφ' οἷς δὲ ἐκείνους σὺ ἔκρινες, γέλως, ἐκεῖθεν ὄψεσθε.

Ἦσαν ἐν Ἤλιδι κλέπτοντες τὰ κοινά τινες; καὶ μάλ' εἰκός γε. Ἔστιν οὖν, ὅστις μετέσχεν αὐτόθι νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον; οὐδὲ εἷς. Τί δέ; ἦσαν, ὅτε ἦν Ὄλυνθος, τοιοῦτοί

teur de Mœroclès, qui avait exigé vingt drachmes de chaque fermier des mines, et de Céphisophon, que tu accusais de sacrilége pour avoir porté sept mines au Trésor trois jours trop tard, tu ne poursuis pas, que dis-je? tu prétends que l'on acquitte ceux qui ont reçu l'or du monarque, ceux qui l'avouent, les destructeurs de nos alliés, des coupables convaincus et pris en flagrant délit! Les voilà cependant, les crimes redoutables, les crimes qui demandent la prévoyance la plus vigilante; mais les délits que tu poursuivais sont une moquerie. Vous allez en juger.

N'y avait-il pas en Élide des gens qui volaient le Trésor? cela est au moins très-probable. Eh bien! en est-il un qui, de nos jours, ait participé au renversement de la démocratie élidienne? aucun. Et quand Olynthe était debout, manquait-elle de ces sortes de citoyens?

τοὺς δωροδοκοῦντας
παρὰ ἐκείνου;
Τί γὰρ δήποτε
ἔκρινας μὲν Μοιροκλέα,
εἰ παρὰ τῶν ἐωνημένων
τὰ μέταλλα
ἐξέλεξεν εἴκοσι δραχμὰς
παρὰ ἑκάστου,
καὶ ἐδίωκες
Κηφισοφῶντα γραφὴν
χρημάτων ἱερῶν,
εἰ ἔθηκεν ἐπὶ τὴν τράπεζαν
ἑπτὰ μνᾶς
τρισὶν ἡμέραις ὕστερον·
οὐ κρίνεις δὲ τούτους,
τοὺς ἔχοντας,
ὁμολογοῦντας, ἐξελεγχομένους
ἐπαυτοφώρῳ
πεποιηκότας ταῦτα
ἐπὶ τῷ ὀλέθρῳ τῶν συμμάχων,
ἀλλὰ καὶ κελεύεις
σώζειν;
Καὶ μὴν ὄψεσθε
ἐκεῖθεν
ὅτι ταῦτα μέν ἐστι φοβερά,
καὶ δεόμενα προνοίας
καὶ φυλακῆς πολλῆς,
ἐπὶ οἷς δὲ
σὺ ἔκρινες ἐκείνους,
γέλως.
Τινὲς ἦσαν ἐν Ἠλιδι
κλέπτοντες τὰ κοινά;
καὶ μάλα εἰκός γε.
Ἔστιν οὖν ὅστις τούτων
μετέσχεν αὐτόθι νῦν
τοῦ καταλῦσαι τὸν δῆμον;
οὐδὲ εἷς.
Τί δέ; τινὲς ἄλλοι
τοιοῦτοι
ἦσαν,

ceux qui recevaient-des-dons
de ce *prince?*
Car pourquoi enfin
accusas-tu Méroclès,
si de ceux qui avaient pris-à-bail
les mines
il recueillit vingt drachmes
de chacun,
et *pourquoi* poursuivis-tu
Céphisophon par une accusation
d'abus de fonds sacrés,
s'il déposa sur le comptoir
sept mines
trois jours plus tard *que de coutume;*
et n'accuses-tu pas ceux-ci,
qui ont *l'argent de Philippe,*
qui *l'*avouent, qui sont convaincus
par-le-flagrant-délit
ayant (d'avoir) fait cela
pour la perte des alliés,
pourquoi exhortes-tu même
à *les* absoudre?
Cependant vous verrez
par ceci (par ce qui va suivre)
que ces *crimes*-là sont redoutables,
et exigeant prévoyance
et vigilance très-grande, [quels
que les délits, au contraire, pour les-
tu faisais juger ces *hommes,*
sont rire (risibles). [Élide
Quelques *citoyens* étaient-ils en
dérobant les *deniers* publics?
oui, *cela est* très-probable.
Y-a-t-il donc quelqu'un d'eux qui
ait pris-part là de-nos-jours
à détruire la démocratie?
il n'*y en a* pas un. [*hommes*
Et quoi (de plus)? quelques autres
pareils *à ceux-là*
existaient-ils *dans Olynthe,*

τινες ἄλλοι; ἐγὼ μὲν οἶμαι. Ἆρ' οὖν διὰ τούτους ἀπώλετο Ὄλυνθος; οὔ. Τί δ'; ἐν Μεγάροις οὐκ οἴεσθ' εἶναί τινα κλέπτην, καὶ παρεκλέγοντα τὰ κοινά; ἀνάγκη, καὶ πέφηνε. Τίς οὖν αἴτιος αὐτόθι νῦν τούτων τῶν συμβεβηκότων πραγμάτων; οὐδὲ εἷς. Ἀλλὰ ποῖοι καὶ τίνες εἰσίν, οἳ τὰ τοιαῦτα καὶ τηλικαῦτ' ἀδικοῦντες; οἳ νομίζοντες ἑαυτοὺς ἀξιόχρεως εἶναι τοῦ Φιλίππου ξένοι καὶ φίλοι προσαγορεύεσθαι, οἳ στρατηγιῶν τε καὶ προστασιῶν ἀξιούμενοι, οἳ μείζους τῶν πολλῶν οἰόμενοι δεῖν εἶναι. Οὐ Περίλαος ἐκρίνετο ἔναγχος ἐν Μεγάροις, ἐν τοῖς Τριακοσίοις[1], ὅτι πρὸς Φίλιππον ἀφίκετο, καὶ παρελθὼν Πτοιόδωρος αὐτὸν ἐξητήσατο, καὶ πλούτῳ, καὶ γένει, καὶ δόξῃ πρῶτος Μεγαρέων, καὶ πάλιν ὡς Φίλιππον ἐξέπεμψε, καὶ μετὰ ταῦτα ὁ μὲν ἦκεν

non, j'imagine. Est-ce donc par eux qu'Olynthe est tombée? nullement. Et Mégare, croyez-vous qu'elle n'ait pas eu quelque fripon public, quelque concussionnaire? Impossible! ce mal s'y est aussi déclaré. Est-ce là que sont les auteurs des récentes infortunes des Mégariens? Non. A qui donc imputer tant d'attentats, tant de désastres? A ceux qui s'honorent d'être appelés hôtes et amis de Philippe; à ceux qui sont à la tête des armées et des affaires; à ceux qui se croient faits pour dominer le peuple. Dernièrement, à Mégare, Périlaos n'était-il pas accusé, devant les Trois-Cents, de s'être rendu auprès du Macédonien? Ptœodore, le citoyen le plus distingué par ses richesses, par sa naissance, par son crédit, ne demanda-t-il point sa grâce, et ne l'envoya-t-il pas de nouveau vers ce prince? N'a-t-on pas vu ensuite le premier arriver à la tête de troupes étran-

ὅτε Ὄλυνθος ἦν;	quand Olynthe était *libre?*
ἐγὼ μὲν οἶμαι.	pour moi, je *le* crois.
Ἆρα οὖν Ὄλυνθος ἀπώλετο	Est-ce que donc Olynthe a succombé
διὰ τούτους; οὔ.	par ces *hommes?* non. [pas
Τί δέ; οὐκ οἴεσθε	Mais quoi? (de plus,) ne pensez-vous
τινὰ κλέπτην	*que* quelque voleur
καὶ παρεκλέγοντα τὰ κοινὰ	et détournant les *finances* publiques
εἶναι ἐν Μεγάροις;	était à Mégare?
ἀνάγκη,	nécessité *est qu'il en fût*,
καὶ πέφηνε.	et il s'*en* montrait.
Τίς οὖν αἴτιος αὐτόθι	Qui *fut* donc cause dans-ce-pays
τούτων πραγμάτων	de ces *malheureuses* affaires
τῶν συμβεβηκότων νῦν;	survenues de-notre-temps?
οὐδὲ εἷς.	aucun *d'eux*.
Ἀλλὰ ποῖοι	Mais qui
καὶ τίνες εἰσίν,	et quels sont
οἱ ἀδικοῦντες	ceux qui nuisaient
τὰ τοιαῦτα καὶ τηλικαῦτα;	par des *crimes* tels et si-nombreux?
οἱ νομίζοντες	*ce sont* ceux qui croyaient
εἶναι ἀξιόχρεως	*qu'*il était digne
ἑαυτοὺς προσαγορεύεσθαι	*qu'*eux-mêmes fussent appelés
ξένοι καὶ φίλοι Φιλίππου,	hôtes et amis de Philippe,
οἱ ἀξιούμενοι	*gens* honorés
στρατηγιῶν τε	et de commandements-militaires
καὶ προστασιῶν,	et de présidences,
οἱ οἰόμενοι	gens pensant
δεῖν εἶναι μείζους	*qu'*il fallait être plus grands
τῶν πολλῶν.	que la multitude.
Ἔναγχος ἐν Μεγάροις,	Dernièrement, à Mégare,
ἐν τοῖς Τριακοσίοις,	dans *le Conseil des* Trois-Cents,
Περίλαος οὐκ ἐκρίνετο,	Périlaüs n'était-il pas jugé,
ὅτι ἀφίκετο πρὸς Φίλιππον,	parce qu'il alla vers Philippe,
καὶ Πτοιόδωρος παρελθὼν	et Ptœodore s'étant approché
ἐξητήσατο αὐτόν,	n'excusa-t-il pas cet homme,
πρῶτος Μεγαρέων	*Ptœodore, le* premier des Mégariens
καὶ πλούτῳ, καὶ γένει,	et par richesse, et par naissance,
καὶ δόξῃ,	et par considération;
καὶ ἐξέπεμψε	et ne *l'*envoya-t-il pas
πάλιν ὡς Φίλιππον,	de nouveau vers Philippe;
καὶ μετὰ ταῦτα ὁ μὲν ἦκεν	et, après cela, l'un revint

ἄγων τοὺς ξένους, ὁ δ' ἔνδον ἐτύρευε. Τοιαῦτα. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὅ τι τῶν πάντων εὐλαβεῖσθαι δεῖ μᾶλλον ἢ τὸ μείζω τινὰ τῶν πολλῶν ἐᾷν γίγνεσθαι. Μή μοι σωζέσθω, μηδ' ἀπολλύσθω μηδείς, ἐὰν ὁ δεῖνα ἢ ὁ δεῖνα βούληται, ἀλλ' ὃν ἂν τὰ πεπραγμένα σώζῃ· καὶ τοὐναντίον· τούτῳ τῆς προσηκούσης ψήφου παρ' ὑμῶν ὑπαρχέτω τυγχάνειν· τοῦτο γάρ ἐστι δημοτικόν. Ἔτι τοίνυν, πολλοὶ παρ' ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροί, Καλλίστρατος ἐκεῖνος, αὖθις Ἀριστοφῶν, Διόφαντος, τούτων ἕτεροι πρότερον. Ἀλλὰ ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ δήμῳ· ἐν δὲ τοῖς δικαστηρίοις οὐδείς πω μέχρι τῆς τήμερον ἡμέρας ὑμῶν, οὐδὲ τῶν νόμων, οὐδὲ τῶν ὅρκων κρείττων γέγονε. Μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε. Ὅτι γὰρ ταῦτα φυ-

gères, le second brouiller tout au-dedans? Tant il est vrai que, de toutes les précautions de la politique, la plus indispensable est de ne laisser aucun citoyen s'élever au-dessus de la foule! Je veux que l'acquittement et la condamnation ne dépendent point de telle volonté privée; mais que l'accusé, selon que les faits le protégent ou l'accablent, trouve ici le jugement qui lui est dû : ainsi l'entend la démocratie. Les conjonctures ont rendu puissants plusieurs Athéniens, Callistrate, Aristophon, Diophante, et d'autres avant eux. Mais où chacun primait-il? à l'assemblée nationale. Nul de vous, jusqu'à ce jour, n'a dominé, dans les tribunaux, sur les lois, sur vos serments. Ne souffrez pas cette audace dans Eubule. Pour vous tenir en garde

ἄγων τοὺς ξένους,
ὁ δὲ ἐτύρευεν ἔνδον.
Τοιαῦτα.
Οὐ γάρ ἐστιν,
οὐκ ἔστι τῶν πάντων
ὅ τι δεῖ εὐλαβεῖσθαι
μᾶλλον ἢ τὸ ἐᾷν
τινὰ γίγνεσθαι μείζω
τῶν πολλῶν.
Μὴ σωζέσθω μηδεὶς
μηδὲ ἀπολλύσθω μοι,
ἐὰν ὁ δεῖνα ἢ ὁ δεῖνα
βούληται,
ἀλλὰ
ὃν τὰ πεπραγμένα ἂν σώζῃ·
καὶ τὸ ἐναντίον·
ὑπαρχέτω τούτῳ
τυγχάνειν παρὰ ὑμῶν
ψήφου τῆς προσηκούσης·
τοῦτο γάρ ἐστι δημοτικόν.
Ἔτι τοίνυν,
πολλοὶ παρὰ ὑμῖν
γεγόνασιν ἰσχυροὶ
ἐπὶ καιρῶν,
ἐκεῖνος Καλλίστρατος,
αὖθις Ἀριστοφῶν,
Διόφαντος,
ἕτεροι πρότερον τούτων.
Ἀλλὰ ποῦ ἕκαστος τούτων
ἐπρώτευεν;
ἐν τῷ δήμῳ·
ἐν δὲ τοῖς δικαστηρίοις
μέχρι τῆς ἡμέρας τήμερον
οὐδείς πω ὑμῶν γέγονε
κρείττων οὐδὲ τῶν νόμων,
οὐδὲ τῶν ὅρκων.
Μὴ τοίνυν ἐάσητε
νῦν
μηδὲ τοῦτον.
Ὅτι γὰρ

amenant des *soldats* étrangers,
et l'autre troublait *tout* à l'intérieur.
Les choses *étaient* telles.
Car il n'est point,
il n'est point *d'abus* parmi tous
dont il faille se préserver-soigneuse-
plus que de laisser [ment
quelque *citoyen* devenir plus grand
que la multitude.
Que ne soit acquitté aucun *accusé*
ni ne soit condamné, à-mon-sens,
si tel ou tel [*damnation*,
voulait *son acquittement ou sa con-*
mais *que celui-là soit acquitté*
que les faits font-absoudre;
et le contraire;
qu'il advienne à lui, *en général*,
d'obtenir de vous
la décision convenable:
car cela est démocratique.
De plus,
beaucoup, chez vous,
sont devenus puissants
par les circonstances,
par exemple, ce-fameux Callistrate,
et encore Aristophon,
Diophante,
et d'autres avant ceux-là.
Mais où chacun d'eux
primait-il?
dans l'assemblée-du-peuple;
dans les tribunaux, au contraire,
jusqu'au jour d'aujourd'hui
nul encore de vous *n*'est devenu
plus fort ni que les lois,
ni que les serments *des juges*.
Ne laissez donc
maintenant [*plus fort*,
pas même celui-ci (Eubule) *devenir*
Car, *pour vous prouver* que

λάττοισθ' ἂν εἰκότως μᾶλλον ὑμεῖς, ἢ τούτοις πιστεύοιτε, τῶν θεῶν ὑμῖν μαντείαν ἀναγνώσομαι, οἵπερ ἀεὶ σώζουσι τὴν πόλιν πολλῷ τῶν προεστηκότων μᾶλλον. Λέγε τὰς μαντείας[1].

ΜΑΝΤΕΙΑΙ.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν θεῶν οἷα ὑμῖν προλέγουσιν; Εἰ μὲν τοίνυν πολεμούντων ὑμῶν ταῦτ' ἀνῃρήκασι, τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι[2]· πολέμου γάρ εἰσιν ἡγεμόνες οἱ στρατηγοί. Εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς ἐπὶ τῆς πολιτείας ἐφεστηκότας· οὗτοι γὰρ ἡγοῦνται, τούτοις πείθεσθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐστί, μὴ παρακρουσθῆτε. Καὶ τὴν πόλιν δεῖν συνέχειν φησὶν ἡ μαντεία, ὅπως ἂν μίαν γνώμην ἔχωσιν ἅπαντες, καὶ μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσι. Πότερον οὖν οἴεσθ', ὦ

contre cette dangereuse prépondérance, je vais faire lire un oracle de ces dieux qui veillent toujours bien plus à la conservation d'Athènes que nos gouvernants. — Lis l'oracle.

ORACLE.

Tu entends, ô Athènes, les avertissements du ciel. Avais-tu la guerre quand il t'a parlé? c'est sur tes généraux qu'il appelle ta méfiance : car, pendant la guerre, tes généraux sont tes chefs. Avais-tu la paix? c'est sur tes ministres : voilà tes guides, tes conseillers; voilà ceux dont tu dois craindre les déceptions. L'oracle dit aux citoyens : « Serrez-vous étroitement, afin de n'avoir tous qu'un même esprit, et de ne pas faire la joie de vos ennemis. » Or, est-ce

ὑμεῖς φυλάττοισθε ἂν εἰκότως ταῦτα,
μᾶλλον ἢ πιστεύοιτε τούτοις,
ἀναγνώσομαι ὑμῖν μαντείαν τῶν θεῶν,
οἵπερ σώζουσι τὴν πόλιν ἀεὶ πολλῷ μᾶλλον τῶν προεστηκότων.
Λέγε τὰς μαντείας.

vous vous préserveriez avec-raison de ces *abus*,
plus que vous *ne* croiriez ces *hommes*,
je ferai-lire à vous l'oracle des dieux,
qui protégent la ville toujours bien plus que les gouvernants.
Lis les oracles.

MANTEIAI.

Ἀκούετε,
ὦ ἄνδρες Ἀθηναῖοι,
τῶν θεῶν,
οἷα προλέγουσιν ὑμῖν;
Εἰ μὲν τοίνυν ἀνηρήκασι ταῦτα ὑμῶν πολεμούντων,
λέγουσι φυλάττεσθαι τοὺς στρατηγούς·
οἱ γὰρ στρατηγοί εἰσιν ἡγεμόνες πολέμου.
Εἰ δὲ πεποιημένων εἰρήνην,
τοὺς ἐφεστηκότας ἐπὶ τῆς πολιτείας·
οὗτοι γὰρ ἡγοῦνται,
ὑμεῖς πείθεσθε τούτοις,
ἐστὶ δέος μὴ παρακρουσθῆτε ὑπὸ τούτων.
Καὶ ἡ μαντεία φησὶ δεῖν τὴν πόλιν συνέχειν,
ὅπως ἅπαντες ἂν ἔχωσι μίαν γνώμην,
καὶ μὴ ποιῶσιν ἡδονὴν τοῖς ἐχθροῖς.
Πότερον οὖν οἴεσθε,

ORACLES.

Entendez-vous,
ô hommes Athéniens,
les dieux,
ce qu'ils prédisent à vous?
Or, s'ils ont répondu cela, [guerre),
vous étant-en-guerre (pendant une
ils disent de se-tenir-en-garde contre les généraux:
car les généraux sont les chefs de la guerre.
Mais, si *les dieux ont répondu cela*,
vous ayant fait la paix (pendant la paix), [préposés
ils disent de se tenir en garde des au gouvernement-civil:
ceux-là, en effet, conduisent,
vous croyez ceux-là,
il y a crainte
que vous ne soyez trompés par ceux-là.
Et l'oracle dit *qu'*il faut que la République soit-unie,
afin que tous *les citoyens* aient un seul sentiment,
et qu'ils ne fassent pas de joie aux ennemis.
st-ce que donc vous pensez,

ἄνδρες Ἀθηναῖοι, τὸν τοσαῦτα κακὰ εἰργασμένον, σωθέντα, ἢ δίκην δόντα, ἡδονὴν ἂν Φιλίππῳ ποιῆσαι; ἐγὼ μὲν οἶμαι σωθέντα. Φησὶ δέ γε ἡ μαντεία ἀεὶ δεῖν, ὅπως ἂν μὴ χαίρωσιν οἱ ἐχθροί, ποιεῖν. Ἅπασι τοίνυν ὑμῖν μιᾷ γνώμῃ παρακελεύεται κολάζειν τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς, ὁ Ζεύς, ἡ Διώνη[1], πάντες οἱ θεοί. Ἔξωθεν οἱ ἐπιβουλεύοντες, ἔνδοθεν δὲ οἱ συμπράττοντες. Οὐκοῦν τῶν ἐπιβουλευόντων μὲν ἔργον τὸ διδόναι, τῶν συμπραττόντων δὲ τὸ λαμβάνειν, καὶ τοὺς εἰληφότας ἐκσώζειν.

Ἔτι τοίνυν κἂν ἀπ' ἀνθρωπίνου λογισμοῦ τοῦτ' ἴδοι τις, ὅτι πάντων ἐχθρότατον καὶ φοβερώτατόν ἐστι τὸ τὸν προεστηκότα ἐᾷν οἰκεῖον γίγνεσθαι τοῖς μὴ τῶν αὐτῶν ἐπιθυμοῦσι τῷ δήμῳ. Τίσι γὰρ τῶν πραγμάτων ἐγκρατὴς γέγονε Φίλιππος ἁπάντων, καὶ τίσι τὰ μέγιστα κατείργασται τῶν πεπραγμένων, σκέψασθε.

la condamnation d'un homme si coupable envers vous, Athéniens, qui ferait la joie de Philippe? N'est-ce pas plutôt son acquittement? Quand Jupiter, quand Dioné, quand tous les dieux vous ordonnent de ne rien faire qui puisse réjouir vos ennemis, ils vous exhortent tous à punir unanimement ceux de qui vos ennemis ont reçu quelque service. Au dehors, d'insidieux agresseurs; au dedans, des traîtres, leurs agents. Chacun a sa tâche : ceux-là donnent, ceux-ci reçoivent, ou défendent ceux qui ont reçu.

Mais la raison suffit pour montrer que, de tous les abus, le plus pernicieux, le plus redoutable, c'est de permettre à un citoyen distingué de se faire l'ami de ceux qui ne sympathisent pas avec le peuple. Par quels moyens, en effet, Philippe s'est-il rendu maître de tout? Comment a-t-il réussi dans ses plus grandes entreprises? C'est

ὦ ἄνδρες Ἀθηναῖοι,
τὸν εἰργασμένον τοσαῦτα κακὰ
ἂν ποιῆσαι ἡδονὴν Φιλίππῳ
σωθέντα, ἢ δόντα δίκην;
ἐγὼ μὲν οἶμαι σωθέντα.
Ἡ δέ γε μαντεία φησὶ
δεῖν ποιεῖν ἀεὶ ὅπως
οἱ ἐχθροὶ ἂν μὴ χαίρωσιν.
Ὁ τοίνυν Ζεύς, ἡ Διώνη,
πάντες οἱ θεοί,
παρακελεύεται ὑμῖν ἅπασι
κολάζειν μιᾷ γνώμῃ
τοὺς ὑπηρετηκότας τι
τοῖς ἐχθροῖς.
Οἱ ἐπιβουλεύοντες
ἔξωθεν,
οἱ δὲ συμπράττοντες
ἔνδοθεν.
Οὐκοῦν τὸ μὲν διδόναι
ἔργον τῶν ἐπιβουλευόντων,
τὸ δὲ λαμβάνειν
καὶ ἐκσώζειν
τοὺς εἰληφότας
τῶν συμπραττόντων.
Ἔτι τοίνυν,
καὶ ἄν τις ἴδοι τοῦτο
ἀπὸ λογισμοῦ ἀνθρωπίνου,
ὅτι τὸ ἐᾶν
τὸν προεστηκότα
γίγνεσθαι οἰκεῖον
τοῖς μὴ ἐπιθυμοῦσι
τῶν αὐτῶν τῷ δήμῳ
ἐστὶν ἐχθρότατον
καὶ φοβερώτατον πάντων.
Τίσι γὰρ Φίλιππος
γέγονεν ἐγκρατὴς
ἁπάντων τῶν πραγμάτων,
καὶ τίσι κατείργασται
τὰ μέγιστα
τῶν πεπραγμένων,

ô hommes Athéniens,
que celui qui a fait tant de maux
ferait de la joie à Philippe
étant acquitté, ou étant puni ?
je crois *que ce serait* étant acquitté.
L'oracle donc déclare
*qu'*il faut faire toujours en-sorte-que
les ennemis ne se réjouissent pas.
Or, Jupiter, Dioné,
tous les dieux,
conseillent à vous tous [ment)
de punir d'un seul avis (unanime-
ceux qui ont rendu-service en quel-
aux ennemis. [que chose
Les *uns sont* tendant des piéges
au-dehors,
les autres agissant-de-connivence
au-dedans.
Donc, donner *des présents*
est la tâche des tendeurs-de-piéges,
en recevoir
et défendre
ceux qui *en* ont reçu, *est la tâche*
de ceux qui agissent-de-connivence.
De plus,
on verrait encore ceci
par raisonnement humain, *savoir,*
que laisser
le chef, *dans une république,*
devenir intime
avec ceux qui ne désirent pas
les mêmes choses que le peuple
est *la disposition* la plus hostile
et la plus redoutable de toutes.
Car par quels *moyens* Philippe
est-il devenu maître
de toutes les choses,
et par quels *moyens* a-t-il accompli
les plus grandes
de ses actions,

Τῷ παρὰ τῶν πωλούντων τὰς πράξεις ὠνεῖσθαι, τῷ τοὺς προεστηκότας ἐν ταῖς πόλεσι διαφθείρειν καὶ ἐπαίρειν. Τούτοις. Ταῦτα τοίνυν ἐφ' ὑμῖν ἐστιν ἀμφότερα, ἐὰν βούλησθε, ἀχρεῖα ποιῆσαι τήμερον, ἐὰν τῶν μὲν μὴ ἐθέλητε ἀκούειν, τῶν τοῖς τοιούτοις συνηγορούντων, ἀλλ' ἐπιδείξητε ἀκύρους ὄντας ὑμῶν· νῦν γάρ φασιν εἶναι κύριοι· τὸν δὲ πεπρακότα ἑαυτὸν κολάσητε, καὶ τοῦτό γ' ἅπαντες ἴδωσι.

Παντὶ μὲν γὰρ εἰκότως ἂν ὀργισθείητε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τοιαῦτα πεποιηκότι, καὶ προδεδωκότι συμμάχους, καὶ φίλους, καὶ καιρούς, μεθ' ὧν ἢ καλῶς, ἢ κακῶς ἑκάστοις ἔχει τὰ πάντα· οὐ μήν, οὐδενὶ μᾶλλον, οὐδὲ δικαιότερον, ἢ τούτῳ.

en achetant les intérêts populaires de ceux qui en trafiquent; c'est en flattant, en corrompant les premiers citoyens de chaque État libre : voilà ses moyens. Eh bien! vous n'avez qu'à vouloir, il dépend de vous de les paralyser tous aujourd'hui : fermez l'oreille aux défenseurs de la trahison; montrez-leur qu'ils n'ont sur vous aucun empire, ces hommes qui se vantent d'être vos maîtres; punissez le ministre qui s'est vendu, et que son châtiment soit connu de tous.

Justes dans votre colère, ô Athéniens, contre tout homme qui, agissant ainsi, aurait livré vos alliés, vos amis et les chances favorables, avantages décisifs pour la fortune des États, vous serez plus justes encore en frappant Eschine. Enrôlé d'abord parmi les citoyens

σκέψασθε.	examinez-*le*.
Τῷ ὠνεῖσθαι	*C'est* par le acheter (en achetant)
τὰς πράξεις	les succès
παρὰ τῶν πωλούντων,	de ceux qui *les* vendent,
τῷ διαφθείρειν	par le corrompre
καὶ ἐπαίρειν	et élever (en corrompant et élevant)
τοὺς προεστηκότας	ceux qui président
ἐν ταῖς πόλεσι.	dans les républiques.
Τούτοις.	*C'est* par ces *moyens*.
Ἐὰν τοίνυν βούλησθε,	Si donc vous *le* voulez,
ἔστιν ἐπὶ ὑμῖν	il est au-pouvoir-de vous
ποιῆσαι ἀχρεῖα	de rendre vains
τήμερον ταῦτα ἀμφότερα,	aujourd'hui ces deux *moyens*,
ἐὰν μὴ ἐθέλητε ἀκούειν	si vous ne voulez pas écouter
τῶν μέν,	ceux-ci,
τῶν συνηγορούντων	qui défendent
τοῖς τοιούτοις,	de tels *coupables*,
ἀλλὰ ἐπιδείξητε	*si*, au-contraire, vous montrez
ὄντας ἀκύρους	*eux* étant (qu'ils sont) sans-pouvoir
ὑμῶν·	sur vous;
νῦν γάρ φασιν	car maintenant ils disent
εἶναι κύριοι·	être tout-puissants;
κολάσητε δὲ	et *si* vous punissez
τὸν πεπρακότα ἑαυτόν,	celui qui a vendu soi-même,
καὶ ἅπαντές γε	et *si* tous même
ἴδωσι τοῦτο.	voient cela.
Ὦ ἄνδρες Ἀθηναῖοι,	O hommes Athéniens,
ὀργισθείητε μὲν γὰρ ἂν	vous vous irriteriez certes
εἰκότως	avec-raison
παντὶ πεποιηκότι	contre tout *citoyen* ayant fait
τὰ τοιαῦτα,	de telles choses,
καὶ προδεδωκότι	et ayant livré
συμμάχους, καὶ φίλους,	alliés, et amis,
καὶ καιρούς,	et occasions-favorables,
μετὰ ὧν	*secours* avec lesquels
τὰ πάντα ἔχει	toutes les *affaires* sont (vont)
ἑκάστοις	pour chacun
ἢ καλῶς ἢ κακῶς·	ou bien ou mal;
οὐ μήν, μᾶλλον	mais *vous* ne *vous irriteriez* pas plus
οὐδὲ δικαιότερον	ni avec-plus-de-justice

Ὃς γὰρ ἑαυτὸν τάξας τῶν ἀπιστούντων εἶναι Φιλίππῳ[1], καὶ μόνος καὶ πρῶτος ἰδών, ὅτι κοινὸς ἐκεῖνός ἐστιν ἐχθρὸς ἁπάντων τῶν Ἑλλήνων, ἠὐτομόλησε, καὶ προὔδωκε, καὶ γέγονεν ἐξαίφνης ὑπὲρ Φιλίππου, πῶς οὐ πολλάκις οὗτος ἄξιός ἐστιν ἀπολωλέναι; Ἀλλὰ μήν, ὅτι ταῦθ' οὕτως ἔχει, αὐτὸς οὐχ οἷός τε ἀντειπεῖν ἔσται. Τίς γάρ ἐστιν ὁ τὸν Ἴσχανδρον προσάγων ὑμῖν τοκαταρχάς, ὃν παρὰ τῶν ἐν Ἀρκαδίᾳ φίλων τῇ πόλει δεῦρ' ἥκειν ἔφη; Τίς ὁ συσκευάζεσθαι τὴν Ἑλλάδα καὶ Πελοπόννησον Φίλιππον βοῶν, ὑμᾶς δὲ καθεύδειν; Τίς ὁ τοὺς καλοὺς καὶ μακροὺς καὶ πολλοὺς λόγους ἐκείνους δημηγορῶν, καὶ τὸ Μιλτιάδου καὶ Θεμιστοκλέους ψήφισμα ἀναγιγνώσκων, καὶ τὸν ἐν τῷ τῆς Ἀγλαύρου[2] τῶν ἐφήβων ὅρκον; Οὐχ οὗτος; Τίς ὁ

qui se méfiaient de Philippe, voyant le premier, voyant seul que ce prince était l'ennemi commun des Hellènes, il a changé de drapeau, il a trahi, il s'est déclaré tout à coup pour le Macédonien; et il ne mériterait pas mille morts? Je le défie de nier cette défection. Quel est celui qui, dans les commencements, vous présenta Ischandre comme un envoyé de vos amis d'Arcadie? Qui criait que Philippe préparait des fers à la Grèce et au Péloponèse, tandis qu'Athènes dormait? Qui débitait au peuple tant de beaux et longs discours? Qui faisait lire les décrets de Miltiade et de Thémistocle, et le serment prêté par nos jeunes citoyens dans le temple d'Aglaure? N'est-ce

οὐδενί,	*contre* aucun *autre*,
ἢ τούτῳ.	que *contre* cet *homme*.
Ὃς γὰρ τάξας ἑαυτὸν	Car celui qui se rangea lui-même
εἶναι τῶν ἀπιστούντων	pour être *un* de ceux qui se méfiaient
Φιλίππῳ,	de Philippe,
καὶ ἰδὼν μόνος καὶ πρῶτος	et qui vit seul et le premier
ὅτι ἐκεῖνός	que ce *prince*
ἐστιν ἐχθρὸς κοινὸς	est l'ennemi commun
ἁπάντων τῶν Ἑλλήνων,	de tous les Grecs,
ηὐτομόλησε,	fut transfuge,
καὶ προὔδωκε,	et trahit,
καὶ γέγονεν ἐξαίφνης	et devint soudain
ὑπὲρ Φιλίππου,	pour Philippe,
πῶς οὗτος οὐκ ἔστιν ἄξιος	comment celui-là n'est-il pas digne
ἀπολωλέναι πολλάκις;	de périr plusieurs-fois?
Ἀλλὰ μήν, αὐτὸς	D'ailleurs, lui-même
οὐκ ἔσται οἷός τε ἀντειπεῖν	n'est pas en-état-de nier
ὅτι ταῦτα ἔχει οὕτως.	que cela *ne* soit ainsi.
Τίς γάρ ἐστιν ὁ προσάγων	Car qui est celui qui présentait
ὑμῖν τοκαταρχὰς	à vous, dès-le-commencement,
τὸν Ἴσχανδρον,	Ischandre,
ὃν ἔφη ἥκειν δεῦρο	qu'il disait venir ici
παρὰ φίλων τῇ πόλει	de-la-part des amis de la République
τῶν ἐν Ἀρκαδίᾳ;	*qui étaient* en Arcadie?
Τίς ὁ βοῶν	Qui *est* celui qui criait
Φίλιππον	*que* Philippe
συσκευάζεσθαι	se préparait-à-attaquer
τὴν Ἑλλάδα	la Hellade
καὶ Πελοπόννησον,	et le Péloponèse,
ὑμᾶς δὲ καθεύδειν;	et *que* vous dormiez?
Τίς ὁ δημηγορῶν	Qui *est* celui qui prononçait-devant-le-peuple
ἐκείνους λόγους	ces harangues
τοὺς καλοὺς καὶ μακροὺς	belles et longues
καὶ πολλούς,	et nombreuses,
καὶ ἀναγιγνώσκων τὸ ψήφισμα	et qui lisait le décret
Μιλτιάδου	de Miltiade
καὶ Θεμιστοκλέους,	et de Thémistocle,
καὶ τὸν ὅρκον τῶν ἐφήβων	et le serment des jeunes-citoyens
ἐν τῷ τῆς Ἀγλαύρου;	*prononcé* dans le *temple* d'Aglaure?
Οὐχ οὗτος;	N'*est-ce* pas cet *homme* ?

πείσας ὑμᾶς μόνον οὐκ ἐπὶ τὴν Ἐρυθρὰν θάλατταν πρεσβείας πέμπειν, ὡς ἐπιβουλευομένης μὲν ὑπὸ Φιλίππου τῆς Ἑλλάδος, ὑμῖν δὲ προσῆκον προορᾶν ταῦτα, καὶ μὴ προΐεσθαι τὰ τῶν Ἑλλήνων; Οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων εἰς Πελοπόννησον Αἰσχίνης οὑτοσί; ἐλθὼν δ' ἐκεῖσε ἅττα μὲν τότε διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη· ἃ δ' ἀπήγγειλε πρὸς ὑμᾶς, ὑμεῖς εὖ οἶδ' ὅτι μέμνησθε πάντες.

Βάρβαρόν τε γὰρ πολλάκις καὶ ἀλάστορα τὸν Φίλιππον ἀποκαλῶν, ἐδημηγόρει· καὶ τοὺς Ἀρκάδας ὑμῖν ἀπήγγειλεν ὡς ἔχαιρον, εἰ προσέχει τοῖς πράγμασιν ἤδη, καὶ ἐγείρεται ἡ τῶν Ἀθηναίων πόλις. Ὁ δὲ πάντων μάλιστα ἀγανακτῆσαι ἔφη· συντυχεῖν γὰρ ἀπιὼν Ἀτρεστίδᾳ παρὰ Φιλίππου πορευομένῳ, καὶ

pas Eschine? Qui vous conseillait d'envoyer des députations presque jusqu'à la mer Rouge, parce que Philippe tramait la perte de la Grèce, dont vous deviez être la providence et l'appui? N'est-ce pas Eubule qui dressa le décret? N'est-ce pas Eschine qui partit pour l'ambassade du Péloponèse? Arrivé là, il sait quelles harangues il prononça. Quant au rapport qu'il fit aux Athéniens, les Athéniens sans doute s'en souviennent tous.

Le barbare! l'exterminateur! voilà les noms qu'il prodiguait à Philippe. « L'Arcadie voit avec joie, vous disait-il, Athènes se réveiller et s'occuper de la Grèce. Mais rien ne m'a plus indigné que de rencontrer, à mon retour, Atrestidas revenant de chez Philippe,

Τίς ὁ πείσας ὑμᾶς	Qui *est* celui qui persuada à vous
πέμπειν πρεσβείας	d'envoyer des ambassades
μόνον οὐκ	seulement non (presque)
ἐπὶ θάλατταν τὴν Ἐρυθράν,	près de la mer Rouge,
ὡς τῆς μὲν Ἑλλάδος	parce que la Grèce
ἐπιβουλευομένης	étant (était) sourdement-attaquée
ὑπὸ Φιλίππου,	par Philippe, [vous
προσῆκον δὲ ὑμῖν	et appartenant (qu'il appartenait) à
προορᾶν ταῦτα,	de prévoir cela,
καὶ μὴ προΐεσθαι	et de ne pas abandonner
τὰ τῶν Ἑλλήνων;	les *intérêts* des Hellènes? [pas
Οὐχ ὁ μὲν Εὔβουλος ἦν	Est-ce que Eubule, d'une part, n'était
γράφων τὸ ψήφισμα,	rédigeant le décret,
Αἰσχίνης δὲ οὑτοσὶ	et, d'autre part, Eschine que-voici
ὁ πρεσβεύων	partant-en-ambassade
εἰς Πελοπόννησον;	pour le Péloponèse?
ἐλθὼν δὲ ἐκεῖσε,	et, arrivé dans-cette-contrée,
αὐτὸς ἂν εἰδείη ἅττα μὲν	il saurait, lui, quelles choses
διελέχθη καὶ ἐδημηγόρησε	il dit et prononça-devant-le-peuple
τότε·	alors;
οἶδα δὲ εὖ ὅτι ὑμεῖς πάντες	et je sais bien que vous tous
μέμνησθε	vous vous souvenez
ἃ ἀπήγγειλε πρὸς ὑμᾶς.	*de ce* qu'il rapporta à vous.
Ἀποκαλῶν γὰρ πολλάκις	Car, surnommant plusieurs-fois
τὸν Φίλιππον	Philippe
βάρβαρόν τε καὶ ἀλάστορα,	et barbare et fléau-destructeur,
ἐδημηγόρει·	il harangua-le-peuple;
καὶ ἀπήγγειλεν ὑμῖν	et il rapporta à vous
τοὺς Ἀρκάδας	les Arcadiens
ὡς ἔχαιρον,	qu'ils se réjouissaient,
εἰ ἡ πόλις	si (de ce que) la république
τῶν Ἀθηναίων	des Athéniens
προσέχει ἤδη τοῖς πράγμασι	fait-attention désormais aux affaires
καὶ ἐγείρεται.	et s'éveille.
Ὃ δὲ ἔφη	Et de quoi il dit
ἀγανακτῆσαι	s'être indigné
μάλιστα πάντων·	plus que de tout, *c'était :*
ἀπιὼν γὰρ συντυχεῖν	*qu'*en revenant il avait rencontré
Ἀτρεστίδᾳ πορευομένῳ	Atrestidas qui revenait
παρὰ Φιλίππου,	d'auprès de Philippe,

μετ' αὐτοῦ γύναια καὶ παιδάρια ὡς τριάκοντα βαδίζειν· αὐτὸς δὲ θαυμάσας, ἐρέσθαι τινὰ τῶν ὁδοιπόρων, τίς ἄνθρωπός ἐστι, καὶ τίς ὄχλος ὁ μετ' αὐτοῦ. Ἐπειδὴ δὲ ἀκούσαι, ὅτι Ἀτρεστίδας παρὰ Φιλίππου τῶν Ὀλυνθίων αἰχμάλωτα, δωρεὰν ταῦτα, ἔχων ἀπέρχεται, δεινὸν αὐτῷ τι δόξαι, καὶ δακρῦσαι, καὶ ὀδύρασθαι τὴν Ἑλλάδα, ὡς κακῶς διάκειται, εἰ τοιαῦτα πάθη περιορᾷ γιγνόμενα, καὶ συνεβούλευσεν ὑμῖν, πέμπειν τινὰς εἰς Ἀρκαδίαν, οἵτινες κατηγορήσουσι τῶν τὰ Φιλίππου πραττόντων. Ἀκούειν γὰρ ἔφη τῶν φίλων, ὡς ἐὰν ἐπιστροφὴν ἡ πόλις ποιήσηται, καὶ πρέσβεις πέμψῃ, δίκην ἐκεῖνοι δώσουσι.

Ταῦτα μὲν τοίνυν τότε καὶ μάλα, ὦ ἄνδρες Ἀθηναῖοι, καλά, καὶ τῆς πόλεως ἄξια, ἐδημηγόρει. Ἐπειδὴ δὲ ἀφίκετο εἰς Μακεδονίαν, καὶ τὸν ἐχθρὸν εἶδε, τὸν ἑαυτοῦ καὶ τῶν Ἑλλήνων,

et traînant à sa suite une trentaine de malheureux, femmes et enfants. Étonné, je demandai à un voyageur quel était cet homme, et la troupe qui le suivait. C'est Atrestidas, me dit-on, qui s'en retourne avec des captifs olynthiens dont Philippe lui a fait présent. Alors je m'irritai, je pleurai, je gémis sur la malheureuse Grèce, spectatrice impassible de pareilles infortunes. Envoyez donc en Arcadie, pour accuser les partisans du Macédonien. Car des amis m'ont assuré qu'ils seront punis, si Athènes tourne de ce côté son attention, et délègue des mandataires. »

Telles étaient alors ses paroles, ô Athéniens, paroles honorables, paroles dignes de la République. Mais dès qu'il eut fait le voyage de Macédoine, dès qu'il eut vu ce Philippe, l'ennemi de la Grèce et le

καὶ γύναια
καὶ παιδάρια
ὡς τριάκοντα
βαδίζειν μετὰ αὐτοῦ·
αὐτὸς δὲ θαυμάσας,
ἐρέσθαι τινὰ
τῶν ὁδοιπόρων,
τίς ἐστιν ἄνθρωπος,
καὶ τίς ὄχλος ὁ μετὰ αὐτοῦ.
Ἐπειδὴ δὲ ἀκούσαι
ὅτι Ἀτρεστίδας
ἀπέρχεται παρὰ Φιλίππου
ἔχων δωρεὰν
ταῦτα αἰχμάλωτα
τῶν Ὀλυνθίων,
δόξαι αὐτῷ
τι δεινόν, καὶ δακρῦσαι,
καὶ ὀδύρασθαι τὴν Ἑλλάδα,
ὡς κακῶς διάκειται,
εἰ περιορᾷ
τοιαῦτα πάθη γιγνόμενα,
καὶ συνεβούλευσεν ὑμῖν
πέμπειν εἰς Ἀρκαδίαν
τινάς,
οἵτινες κατηγορήσουσι
τῶν πραττόντων
τὰ Φιλίππου.
Ἔφη γὰρ ἀκούειν τῶν φίλων,
ὡς ἐκεῖνοι δώσουσι δίκην,
ἐὰν ἡ πόλις
ποιήσηται ἐπιστροφήν,
καὶ πέμψῃ πρέσβεις.
Ὦ ἄνδρες Ἀθηναῖοι,
ἐδημηγόρει τοίνυν τότε
ταῦτα μὲν καὶ μάλα καλά,
καὶ ἄξια τῆς πόλεως.
Ἐπειδὴ δὲ ἀφίκετο
εἰς Μακεδονίαν,
καὶ εἶδε τὸν ἐχθρόν,
τὸν ἑαυτοῦ

et *que* de pauvres-femmes
et de pauvres-enfants
au-nombre-de trente
marchaient avec lui;
que lui (Eschine), étonné,
avait demandé à quelqu'un
des voyageurs,
quel est *cet* homme, [lui.
et quelle *est cette* foule *qui est* avec
Après qu'il eut appris
qu'Atrestidas
revient de chez Philippe
possédant *comme* présent
ces captifs
des Olynthiens,
que cela sembla à lui [ra,
quelque chose de cruel, et *qu'*il pleu-
et *qu'*il gémit *sur* la Grèce,
combien lâchement elle est disposée,
si elle voit-avec-indifférence
de tels malheurs arrivés,
et il conseilla à vous
d'envoyer en Arcadie
quelques *citoyens*,
lesquels accuseront
ceux qui font
les *affaires* de Philippe.
Car il dit avoir appris d'amis,
que ceux-ci donneront justice (seront
si la République [punis),
y fait attention,
et envoie des ambassadeurs.
O hommes Athéniens,
Eschine disait-donc-au-peuple alors
ces choses et très-belles,
et dignes de la République.
Mais lorsqu'il fut arrivé
en Macédoine,
et eut vu l'ennemi
de lui-même

Φίλιππον, ἆρά γε ὅμοια, ἢ παραπλήσια τούτοις; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ μήτε τῶν προγόνων μεμνῆσθαι, μήτε τρόπαια λέγειν, μήτε βοηθεῖν μηδενί. Τῶν τε κελευόντων μετὰ τῶν Ἑλλήνων περὶ τῆς πρὸς Φίλιππον εἰρήνης βουλεύεσθαι, θαυμάζειν, εἰ περὶ τῶν ὑμετέρων ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι. Εἶναί τε τὸν Φίλιππον αὐτόν, Ἡράκλεις, ἑλληνικώτατον ἀνθρώπων, δεινότατον λέγειν, φιλαθηναιότατον. Οὕτω δὲ ἀτόπους τινὰς ἐν τῇ πόλει καὶ δυσχερεῖς ἀνθρώπους εἶναι, ὥστε οὐκ αἰσχύνεσθαι λοιδορουμένους αὐτῷ, καὶ βάρβαρον αὐτὸν ἀποκαλοῦντας. Ἔστιν οὖν ὅπως ἂν ταῦτ', ἐκεῖνα προειρηκώς, ὁ αὐτὸς ἀνὴρ μὴ διαφθαρείς, ἐτόλμησεν εἰπεῖν; Τί δέ; ἔστιν ὅστις ἂν τὸν Ἀτρεστίδαν τότε μισήσας διὰ τοὺς τῶν Ὀλυνθίων παῖδας, καὶ τὰ γύναια, ταὐτὰ Φιλοκράτει νῦν πράττειν ὑπέμεινεν; ὃς γυναῖκας

sien, parlait-il de même? Il s'en faut de beaucoup. Vous ne deviez plus penser à vos pères, citer leurs victoires, secourir aucun peuple. Conseiller de se concerter avec les Hellènes pour délibérer sur la paix! Aviez-vous donc besoin d'un assentiment étranger pour terminer vos affaires? Philippe, grands dieux! était de tous les hommes le plus éloquent, le plus Grec, le plus Athénien par le cœur; et pourtant, ajoutait-il, il y a dans Athènes des individus assez insensés, assez moroses, pour ne pas rougir de l'injurier et de l'appeler barbare! Est-il donc possible qu'à moins de s'être vendu, le même homme ait eu le front de se contredire ainsi? Est-il possible qu'après l'horreur que lui avait inspirée Atrestidas avec ses captifs d'Olynthe,

καὶ τῶν Ἑλλήνων,
Φίλιππον,
ἆρά γε ὅμοια
ἢ παραπλήσια τούτοις;
καὶ δεῖ πολλοῦ γε.
Ἀλλὰ μήτε μεμνῆσθαι
τῶν προγόνων,
μήτε λέγειν τρόπαια,
μήτε βοηθεῖν μηδενί.
Θαυμάζειν τε
τῶν κελευόντων
βουλεύεσθαι
μετὰ τῶν Ἑλλήνων
περὶ τῆς εἰρήνης πρὸς Φίλιππον,
εἰ δεῖ ἄλλον τινὰ
πεισθῆναι
περὶ τῶν ὑμετέρων ἰδίων.
Τόν τε Φίλιππον αὐτόν,
Ἡράκλεις,
εἶναι ἑλληνικώτατον ἀνθρώπων,
δεινότατον λέγειν,
φιλαθηναιότατον.
Εἶναι δὲ ἐν τῇ πόλει
τινὰς ἀνθρώπους ἀτόπους
καὶ δυσχερεῖς οὕτως ὥστε
οὐκ αἰσχύνεσθαι
λοιδορουμένους αὐτῷ,
καὶ ἀποκαλοῦντας
αὐτὸν βάρβαρον.
Ἔστιν οὖν ὅπως
ὁ αὐτὸς ἀνήρ,
προειρηκὼς ἐκεῖνα,
ἐτόλμησεν ἂν εἰπεῖν ταῦτα
μὴ διαφθαρείς;
Τί δέ;
ἔστιν ὅστις
μισήσας τότε τὸν Ἀτρεστίδαν
διὰ τοὺς παῖδας τῶν Ὀλυνθίων,
καὶ τὰ γύναια,
ὑπέμεινεν ἂν πράττειν

et des Grecs,
je veux dire Philippe, [égales
est-ce-que *Eschine dit* des choses
ou semblables à celles-là ?
il s'en faut de beaucoup, certes.
Mais *il conseillait* de ne *plus* se souvenir
des aïeux, [venir
de ne *plus* parler trophées,
de ne secourir aucun *peuple*.
Il disait s'étonner
de ceux qui exhortaient
à délibérer *en commun*
avec les Hellènes
sur la paix *à faire* avec Philippe,
comme s'il fallait *que* quelque autre
fût persuadé
touchant vos propres *intérêts*.
Il disait que Philippe lui-même,
par Hercule!
était le plus Grec des hommes,
le plus habile à parler,
le-plus-ami-des-Athéniens.
Mais *qu'*il existait dans la République
quelques hommes absurdes
et chagrins au point de
n'avoir pas honte
injuriant (d'injurier) ce *prince*,
et surnommant (de surnommer)
lui barbare. [sible que)
Est-il donc comment (est-il donc pos-
le même personnage,
ayant dit-d'abord ces choses-là,
ait osé dire celles-ci [*présents ?*
n'ayant pas été corrompu *par des*
Mais quoi (bien plus),
est-il *homme* qui,
ayant détesté alors Atrestidas
à cause des enfants des Olynthiens
et de *leurs* pauvres-femmes,
oserait faire

ἐλευθέρας τῶν Ὀλυνθίων ἤγαγε δεῦρο ἐφ' ὕβρει· καὶ οὕτως ἐπὶ τῷ βδελυρῶς βεβιωκέναι γιγνώσκεται, ὥστε μηδὲν ἐμὲ αἰσχρὸν εἰπεῖν νυνὶ περὶ αὐτοῦ δεῖν, μηδὲ δυσχερές, ἀλλὰ τοσοῦτον εἰπόντος μόνον, ὅτι Φιλοκράτης γυναῖκας ἤγαγε, πάντας ὑμᾶς εἰδέναι, καὶ τοὺς περιεστηκότας, τὰ μετὰ ταῦτα, καὶ ἐλεεῖν, εὖ οἶδ' ὅτι, τὰς ἀτυχεῖς καὶ ταλαιπώρους ἀνθρώπους, ἃς οὐκ ἠλέησεν Αἰσχίνης, οὐδ' ἐδάκρυσεν ἐπὶ ταύταις τὴν Ἑλλάδα, εἰ παρὰ τοῖς συμμάχοις ὑπὸ τῶν πρέσβεων ὑβρίζονται.

Ἀλλ' ὑπὲρ αὑτοῦ κλαήσει, τοῦ τὰ τοιαῦτα πεπρεσβευκότος, καὶ τὰ παιδία ἴσως παράξει καὶ ἀναβιβᾶται. Ὑμεῖς δὲ ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί, πρὸς μὲν τὰ τούτου παιδία, ὅτι

il se soit gratuitement résigné à être le complice d'un Philocrate, qui avait amené ici des Olynthiennes libres, pour en faire le jouet de son libertinage? d'un Philocrate, si connu par ses débauches, que, sans rappeler une seule de ses odieuses infamies, il suffit de dire qu'il a amené des femmes, pour que juges et auditeurs, devinant le reste, plaignent, j'en suis sûr, ces infortunées que ne plaignit pas Eschine, et dont l'aspect ne le fit point pleurer sur la Grèce, réduite à les voir outrager et chez leurs alliés, et par des ambassadeurs.

C'est sur lui-même qu'il pleurera, ce député si coupable; il présentera peut-être ses enfants, et les mettra en scène. A la famille de cet homme, ô juges, opposez par la pensée les enfants de tant d'al-

νῦν τὰ αὐτὰ
Φιλοκράτει;
ὃς ἤγαγε δεῦρο ἐπὶ ὕβρει
γυναῖκας ἐλευθέρας
τῶν Ὀλυνθίων·
καὶ γιγνώσκεται
ἐπὶ τῷ βεβιωκέναι βδελυρῶς
οὕτως ὥστε δεῖν
ἐμὲ εἰπεῖν νυνὶ περὶ αὐτοῦ
μηδὲν αἰσχρὸν
μηδὲ δυσχερές,
ἀλλά, εἰπόντος
τοσοῦτον μόνον,
ὅτι Φιλοκράτης
ἤγαγε γυναῖκας,
πάντας ὑμᾶς εἰδέναι,
καὶ τοὺς περιεστηκότας,
τὰ μετὰ ταῦτα,
καὶ ἐλεεῖν,
οἶδα εὖ ὅτι,
τὰς ἀνθρώπους ἀτυχεῖς
καὶ ταλαιπώρους,
ἃς Αἰσχίνης οὐκ ἠλέησεν,
οὐδὲ ἐδάκρυσε
τὴν Ἑλλάδα
ἐπὶ ταύταις,
εἰ ὑβρίζονται
παρὰ τοῖς συμμάχοις
ὑπὸ τῶν πρέσβεων.
Ἀλλὰ κλαήσει ὑπὲρ αὑτοῦ,
τοῦ πεπρεσβευκότος
τὰ τοιαῦτα,
καὶ ἴσως παράξει
τὰ παιδία
καὶ ἀναβιβᾶται.
Ὑμεῖς δέ,
ὦ ἄνδρες δικασταί,
ἐνθυμεῖσθε
πρὸς μὲν τὰ παιδία τούτου,
ὅτι παῖδες

aujourd'hui les mêmes choses
que Philocrate?
Philocrate, qui amena ici, par ou-trage,
des femmes libres
des Olynthiens;
et *qui* est connu
pour avoir vécu dans-la-débauche
tellement qu'il *n*'est *pas* nécessaire
que je dise maintenant touchant lui
rien de honteux
ni de pénible,
mais *tellement que moi* disant
ceci seulement,
que Philocrate
a amené des femmes,
tous vous avez compris, [tour,
ainsi-que les *auditeurs* placés-à-l'en-
ce qui *est* après cela (ce qui s'ensuit),
et *que* vous avez-pitié,
je sais bien que *cela est*,
de ces femmes malheureuses
et infortunées,
dont Eschine n'eut pas pitié;
et il ne pleura point
sur la Grèce
à cause d'elles,
si elles sont outragées
chez des alliés *de leur patrie*
par des ambassadeurs.
Mais il pleurera sur lui-même,
qui a commis-dans-sa-mission
de tels *crimes*,
et peut-être présentera-t-il
ses jeunes-enfants
et *les* fera-t-il-monter *près des juges.*
Pour vous,
ô hommes juges,
réfléchissez, [*homme*,
en-opposition-avec les enfants de cet
que les enfants

πολλῶν συμμάχων ὑμετέρων καὶ φίλων παῖδες ἁλῶνται, καὶ πτωχοὶ περιέρχονται, δεινὰ πεπονθότες διὰ τοῦτον, οὓς ἐλεεῖν πολλῷ μᾶλλον ὑμῖν ἄξιον, ἢ τοὺς τοῦ τοιαῦτα ἠδικηκότος καὶ προδότου πατρός· καὶ ὅτι τοὺς ὑμετέρους παῖδας οὗτοι, « καὶ τοῖς ἐχγόνοις » προσγράψαντες τῇ εἰρήνῃ, καὶ τῶν ἐλπίδων ἀπεστερήκασι. Πρὸς δὲ τὰ αὐτοῦ τούτου δάκρυα, ὅτι νῦν ἔχετε ἄνθρωπον, ὃς εἰς Ἀρκαδίαν ἐκέλευσεν, ἐπὶ τοὺς ὑπὲρ Φιλίππου πράττοντας, πέμπειν τοὺς κατηγορήσοντας. Νῦν τοίνυν ὑμᾶς οὐκ εἰς Πελοπόννησον δεῖ πρεσβείαν πέμπειν, οὐδ' ὁδὸν μακρὰν βαδίσαι, οὐδ' ἐφόδια ἀναλίσκειν, ἀλλ' ἄχρι τοῦ βήματος ἐνταυθοῖ παρελθόντα ἕκαστον ὑμῶν τὴν ὁσίαν καὶ δικαίαν ψῆφον ὑπὲρ τῆς πατρίδος θέσθαι κατ' ἀνδρός, ὅς, ὦ γῆ καὶ θεοί, ἐκεῖνα, ἃ διεξῆλθον ἐν ἀρχῇ, δεδημηγορηκώς, τὸν Μαραθῶνα, τὴν Σαλα-

liés, de tant d'amis, réduits en captivité, traînant de contrée en contrée leur indigence et leur malheur, ouvrage d'Eschine, et bien autrement dignes de votre compassion que la famille d'un père aussi criminel, que les fils d'un traître; opposez vos propres enfants, auxquels Philocrate et lui ont, par leur paix *perpétuelle*, ravi jusqu'à l'espérance. Que ses larmes vous rappellent que vous tenez entre vos mains l'homme qui vous excitait à envoyer en Arcadie des commissaires chargés d'accuser les créatures de Philippe. Or, qu'est-il besoin aujourd'hui d'une mission pour le Péloponèse, des dépenses et des fatigues d'un long voyage? Il suffit que chacun de vous s'avance jusqu'à cette tribune pour y déposer, en faveur de la patrie, un suffrage juste et pur contre le ministre, grands dieux! qui ne vous citait

πολλῶν συμμάχων
καὶ φίλων ὑμετέρων
ἀλῶνται,
καὶ περιέρχονται πτωχοί,
πεπονθότες δεινὰ
διὰ τοῦτον,
οὓς ἐλεεῖν
πολλῷ μᾶλλον ἄξιον ὑμῖν,
ἢ τοὺς τοῦ πατρὸς
ἠδικηκότος τοιαῦτα
καὶ προδότου·
καὶ ὅτι οὗτοι
καὶ ἀπεστερήκασι τῶν ἐλπίδων
τοὺς ὑμετέρους παῖδας,
προσγράψαντες
τῇ εἰρήνῃ
« καὶ τοῖς ἐκγόνοις. »
Πρὸς δὲ τὰ δάκρυα
τούτου αὐτοῦ,
ὅτι ἔχετε
νῦν ἄνθρωπον, ὃς ἐκέλευσε
πέμπειν εἰς Ἀρκαδίαν,
ἐπὶ τοὺς πράττοντας
ὑπὲρ Φιλίππου,
τοὺς κατηγορήσοντας.
Νῦν τοίνυν οὐ δεῖ
ὑμᾶς πέμπειν πρεσβείαν
εἰς Πελοπόννησον,
οὐδὲ βαδίσαι
μακρὰν ὁδόν,
οὐδὲ ἀναλίσκειν
ἐφόδια,
ἀλλὰ ἕκαστον ὑμῶν
παρελθόντα ἐνταυθοῖ
ἄχρι τοῦ βήματος,
θέσθαι ὑπὲρ πατρίδος ψῆφον
τὴν ὁσίαν καὶ δικαίαν
κατὰ ἀνδρὸς ὅς,
ὦ γῆ καὶ θεοί,
δεδημηγορηκὼς

de nombreux alliés
et d'amis vôtres
sont dispersés,
et errent misérables,
souffrant des *maux* cruels
à-cause-de lui,
desquels *enfants* avoir-pitié
est bien plus digne de vous, [père
que *d'avoir pitié* des *enfants* d'un
qui a commis-des-iniquités telles
et *qui a été* traître;
et *réfléchissez* que ces *hommes*
ont même privé d'espérance
vos fils,
ayant (quand ils ont) inscrit
dans le traité-de-paix
ces mots, « et pour les descendants. »
En-opposition-avec les larmes
de cet *homme* même,
réfléchissez que vous possédez
maintenant l'homme qui conseilla
d'envoyer en Arcadie
contre ceux qui agissaient
pour Philippe [ser.
des citoyens qui devaient *les* accu-
Or maintenant il n'est-pas-nécessaire
que vous envoyiez une députation
dans le Péloponèse,
ni *que* vous voyagiez
sur une longue route,
ni *que* vous dépensiez
des indemnités-de-voyage, [vous,
mais *il faut seulement que* chacun de
s'étant approché ici
jusqu'à la tribune,
dépose pour la patrie un vote
saint et équitable
contre l'homme qui,
ô terre et dieux!
ayant dit-au-peuple

μῖνα, τὰς μάχας, τὰ τρόπαια, ἐξαίφνης, ὡς ἐπέβη Μακεδονίας, πάντα τἀναντία τούτοις ἔλεγε, μὴ προγόνων μεμνῆσθαι, μὴ τρόπαια λέγειν, μὴ βοηθεῖν μηδενί, μὴ κοινῇ μετὰ τῶν Ἑλλήνων βουλεύεσθαι, μονονοὺ καθελεῖν τὰ τείχη. Καίτοι τούτων αἰσχίους λόγοι οὐδένες πώποτε ἐν παντὶ τῷ χρόνῳ γεγόνασι παρ' ὑμῖν.

Τίς γάρ ἐστιν Ἑλλήνων, ἢ Βαρβάρων, οὕτω σφόδρα σκαιός, καὶ ἀνήκοος, ἢ μισῶν τὴν πόλιν τὴν ἡμετέραν, ὅστις, εἴ τις ἔροιτο· « Εἰπέ μοι, τῆς νῦν οὔσης Ἑλλάδος ταυτησὶ καὶ οἰκουμένης, ἔσθ' ὅ τι ταύτην ἂν τὴν προσηγορίαν εἶχεν, ἢ ᾠκεῖθ' ὑπὸ τῶν νῦν ἐχόντων Ἑλλήνων, εἰ μὴ τὰς ἀρετὰς ὑπὲρ αὐτῶν

d'abord que Marathon, et Salamine, et batailles, et trophées, et qui, dès qu'il eut foulé le sol de Macédoine, changeant soudain de langage, vous disait de ne plus penser à vos aïeux, de vous taire sur leurs triomphes, de ne défendre aucune république, de ne pas débattre en commun les intérêts de la Grèce, de renverser, peu s'en faut, vos propres murailles : conseils les plus ignominieux que nul, ici, ait jamais hasardés!

Qu'on adresse à un Hellène, à un Barbare, cette question : « Dites-moi, de tous les pays, de tous les peuples de la Grèce, en est-il un seul qui eût conservé son nom, et fût habité par les Grecs qui l'occupent aujourd'hui, si nos pères n'eussent déployé, pour sa défense, tant de bravoure à Marathon et à Salamine? » Où sera l'homme assez

ἐκεῖνα ἃ διεξῆλθον
ἐν ἀρχῇ,
τὸν Μαραθῶνα, τὴν Σαλαμῖνα,
τὰς μάχας, τὰ τρόπαια,
ἐξαίφνης, ὡς ἐπέβη
Μακεδονίας,
ἔλεγε πάντα
τὰ ἐναντία τούτοις,
μὴ μεμνῆσθαι
προγόνων,
μὴ λέγειν τρόπαια,
μὴ βοηθεῖν μηδενί,
μὴ βουλεύεσθαι κοινῇ
μετὰ τῶν Ἑλλήνων,
μονονοὺ καθελεῖν
τὰ τείχη.
Καίτοι οὐδένες λόγοι
αἰσχίους τούτων
γεγόνασι
πώποτε παρὰ ὑμῖν
ἐν παντὶ τῷ χρόνῳ.
Τίς γὰρ Ἑλλήνων,
ἢ Βαρβάρων,
ἐστὶ σκαιὸς καὶ ἀνήκοος,
ἢ μισῶν
τὴν πόλιν τὴν ἡμετέραν
οὕτω σφόδρα, ὅστις,
εἴ τις ἔροιτο·
« Εἰπέ μοι,
ταυτησὶ τῆς Ἑλλάδος
νῦν οὔσης
καὶ οἰκουμένης,
ἔστιν ὅ τι ἂν εἶχε
ταύτην τὴν προσηγορίαν,
ἢ ᾠκεῖτο ὑπὸ Ἑλλήνων
τῶν ἐχόντων νῦν,
εἰ οἱ ἡμέτεροι πρόγονοι
μὴ παρέσχοντο
Μαραθῶνι καὶ Σαλαμῖνι
ἐκείνας τὰς ἀρετὰς

ces choses que j'ai détaillées
au commencement,
Marathon, Salamine,
les batailles, les trophées,
soudain, dès qu'il fut arrivé
en Macédoine,
dit toutes choses
contraires à celles-là,
conseilla de ne pas se souvenir
des ancêtres,
de ne pas parler de *leurs* trophées,
de ne secourir aucun peuple,
de ne pas délibérer en-commun
avec les Hellènes,
peu-s'en-faut de détruire
les remparts.
Cependant aucuns discours
plus honteux que ceux-là
ne furent *prononcés*
jamais chez vous
pendant tout le temps.
Car lequel des Grecs,
ou des Barbares,
est gauche (sot) et sourd,
ou haïssant
notre République
si fortement, lequel (que),
si quelqu'un *lui* demandait :
« Dites-moi,
de cette Grèce
qui maintenant existe
et est habitée,
est-il *une partie* qui aurait
cette *même* dénomination *de Grèce,*
ou serait habitée par les Grecs
qui *la* possèdent maintenant,
si nos ancêtres
n'avaient déployé
à Marathon et à Salamine
ces-célèbres vertus

ἐκείνας οἱ Μαραθῶνι καὶ Σαλαμῖνι παρέσχοντο ἡμέτεροι πρόγονοι ; » οὐδ' ἂν εἷς εὖ οἶδ' ὅτι φήσειεν, ἀλλὰ ταῦτα πάντα ὑπὸ τῶν Βαρβάρων ἂν ἑαλωκέναι. Εἶθ', οὓς μηδὲ τῶν ἐχθρῶν μηδεὶς ἂν τούτων τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων ἀποστερήσειε, τούτων Αἰσχίνης ὑμᾶς οὐκ ἐᾷ μεμνῆσθαι, τοὺς ἐξ ἐκείνων, ἵν' αὐτὸς ἀργύριον λάβῃ; Καὶ μὴν τῶν μὲν ἄλλων ἀγαθῶν οὐ μέτεστι τοῖς τεθνεῶσιν· οἱ δ' ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι τῶν οὕτω τετελευτηκότων ἴδιον κτῆμά εἰσιν. Οὐδὲ γὰρ ὁ φθόνος αὐτοῖς ἔτι τηνικαῦτα ἐναντιοῦται. Ὧν ἀποστερῶν ἐκείνους οὗτος, αὐτὸς ἂν τῆς ἐπιτιμίας δικαίως ἂν νῦν στερηθείη. Καὶ ταύτην ὑπὲρ τῶν προγόνων ὑμεῖς δίκην λάβοιτε παρ' αὐτοῦ. Τοιούτοις μέντοι λόγοις, ὦ κακὴ κεφαλή, σὺ τὰ τῶν προγόνων ἔργα διασύρας καὶ συλήσας, τῷ λόγῳ πάντα τὰ πράγματα ἀπώλεσας·

stupide, assez ignorant, assez ennemi d'Athènes, pour ne pas avouer que la Grèce entière aurait passé sous le joug des Barbares? Eh bien! ces grands hommes qu'aucun ennemi n'oserait frustrer d'un si glorieux éloge, Eschine exige que vous, leurs descendants, vous les effaciez de votre mémoire; et pourquoi? pour qu'il gagne son salaire! Cependant, la louange due à leurs belles actions est la seule jouissance des illustres morts; c'est leur propriété; l'envie ne la dispute point à la tombe. Eschine, qui veut la leur arracher, mérite une dégradation civile. Voilà la vengeance que vous devez à vos ancêtres. Cœur perfide! tu as, par tes discours, déchiré comme une proie la

ὑπὲρ αὐτῶν; »
εὖ οἶδα ὅτι
οὐδὲ ἂν εἷς φήσειεν,
ἀλλὰ ταῦτα πάντα
ἂν ἑαλωκέναι
ὑπὸ τῶν Βαρβάρων.
Εἶτα, Αἰσχίνης οὐκ ἐᾷ
ὑμᾶς μεμνῆσθαι τούτων
οὓς μηδεὶς
μηδὲ τῶν ἐχθρῶν
ἂν ἀποστερήσειε
τούτων τῶν ἐγκωμίων
καὶ τῶν ἐπαίνων,
τοὺς ἐξ ἐκείνων,
ἵνα αὐτὸς λάβῃ
ἀργύριον;
Καὶ μὴν οὐ μέτεστι
τῶν μὲν ἄλλων ἀγαθῶν
τοῖς τεθνεῶσιν·
οἱ δὲ ἔπαινοι
ἐπὶ τοῖς πραχθεῖσι καλῶς
εἰσι κτῆμα ἴδιον
τῶν τετελευτηκότων
οὕτως.
Ὁ γὰρ φθόνος
οὐδὲ ἐναντιοῦται ἔτι
αὐτοῖς τηνικαῦτα.
Ὧν οὗτος
ἀποστερῶν ἐκείνους,
αὐτὸς ἂν στερηθείη δικαίως
νῦν
τῆς ἐπιτιμίας.
Καὶ ὑμεῖς λάβοιτε παρὰ αὐτοῦ
ταύτην δίκην
ὑπὲρ τῶν προγόνων.
Τοιούτοις μέντοι λόγοις,
ὦ κακὴ κεφαλή,
σὺ διασύρας καὶ συλήσας
τὰ ἔργα τῶν προγόνων,
ἀπώλεσας τῷ λόγῳ

pour eux? »
je sais bien que (je suis assuré que)
aucun n'affirmerait (ne dirait oui),
mais *il répondrait que* toutes ces
auraient été prises [*contrées*
par les Barbares.
Après-cela, Eschine ne permet pas
à vous de vous souvenir de ces *an-*
qu'aucun [*cêtres*
pas même des ennemis
n'aurait privé
de ces éloges
et de ces louanges, [*célèbres,*
à vous, descendants de ces *hommes*
pour que lui-même reçoive
de l'argent! [née
Cependant une-part-n'est-point-don-
dans les autres biens
aux morts;
et les éloges
sur les *actions* faites honorablement
sont la propriété privée
de ceux qui ont péri
ainsi (si glorieusement).
Car l'envie
ne s'oppose plus
à eux alors (quand ils ne sont plus).
Desquels *éloges* cet *homme*
privant ceux-ci,
lui-même serait privé justement
maintenant
des droits-du-citoyen.
Et vous recevriez *justement* de lui
cette satisfaction
pour les ancêtres.
Donc, par de telles harangues,
ô criminelle tête,
toi déchirant et outrageant
les actions de *nos* ancêtres,
tu as ruiné par la parole

εἶτα γεωργεῖς ἐκ τούτων, καὶ σεμνὸς γέγονας. Καὶ γὰρ αὖ τοῦτο, πρὸ μὲν τοῦ πάντα τὰ κακὰ εἰργάσθαι τὴν πόλιν, ὡμολόγει γεγραμματευκέναι, καὶ χάριν ὑμῖν ἔχειν τοῦ χειροτονηθῆναι, καὶ μέτριον παρεῖχεν ἑαυτόν. Ἐπειδὴ δὲ μυρία εἴργασται κακά, τὰς ὀφρῦς ἀνέσπακε. Κἂν « ὁ γεγραμματευκὼς Αἰσχίνης, » εἴπῃ τις, εὐθέως ἐχθρὸς καὶ κακῶς φησιν ἀκηκοέναι, καὶ διὰ τῆς ἀγορᾶς πορεύεται, θοἰμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν, ἴσα βαίνων Πυθοκλεῖ[1], τὰς γνάθους φυσῶν, τῶν Φιλίππου ξένων καὶ φίλων εἷς οὗτος ὑμῖν ἤδη, τῶν ἀπαλλαγῆναι τοῦ δήμου βουλομένων, καὶ κλύδωνα, καὶ μανίαν τὰ καθεστηκότα πράγματα ἡγουμένων, ὁ τέως ἔτι προσκυνῶν τὴν Θόλον.

gloire de leurs hauts faits; et ces mêmes discours, source de tous nos malheurs, t'ont rendu riche et arrogant. Car, avant qu'il eût fait tant de blessures à la patrie, il avouait, Athéniens, avoir été greffier par la faveur de vos suffrages, et sa personne était modeste. Mais, depuis ses innombrables attentats, il prend des airs hautains; et, si quelque passant vient à dire: *Voilà Eschine, l'ex-greffier,* il devient furieux, et crie à l'offense. On le voit sur la place publique, la robe tombant jusqu'à la cheville, enfler ses joues et marcher du même pas que Pythoclès. Il est à présent un de ces hôtes, un de ces bons amis de Philippe, qui veulent se débarrasser de la démocratie, et qui ne voient dans notre constitution qu'une mer follement orageuse, cet homme qui naguère saluait si humblement la table des pensionnaires du Peuple!

πάντα τὰ πράγματα·	toutes les affaires ;
εἶτα ἐκ τούτων	et puis, au-moyen-de ces *harangues*,
γεωργεῖς,	tu laboures-la-terre (tu es devenu
καὶ γέγονας	et tu es devenu [propriétaire),
σεμνός.	arrogant.
Καὶ γὰρ αὖ,	Car, par-un-changement
πρὸ μὲν τοῦ εἰργάσθαι	avant d'avoir fait
τὴν πόλιν	à la République
πάντα τὰ κακά,	tous les maux,
ὡμολόγει τοῦτο,	il avouait ceci,
γεγραμματευκέναι,	*savoir qu'*il avait été-greffier,
καὶ ἔχειν χάριν ὑμῖν	et *qu'*il avait obligation à vous
τοῦ χειροτονηθῆναι,	d'avoir été élu *pour cet emploi*,
καὶ παρεῖχεν ἑαυτὸν	et il présentait soi-même
μέτριον.	*comme* modeste.
Ἐπειδὴ δὲ εἴργασται	Mais, depuis qu'il a fait
μυρία κακά,	dix mille maux, [arrogant).
ἀνέσπακε τὰς ὀφρῦς.	il a froncé les sourcils (est devenu
Καὶ ἄν τις εἴπῃ·	Et, si quelqu'un dit :
« Αἰσχίνης	« *Voilà* Eschine,
ὁ γεγραμματευκώς, »	qui-a-été-greffier, »
εὐθέως ἐχθρὸς	soudain *il est* l'ennemi *de cet homme*,
καί φησιν	et il déclare
ἀκηκοέναι κακῶς,	avoir entendu mal (été calomnié),
καὶ πορεύεται	et il chemine
διὰ τῆς ἀγορᾶς,	à travers la place-publique,
καθεὶς τὸ ἱμάτιον	laissant-tomber son vêtement
ἄχρι τῶν σφυρῶν,	jusqu'aux chevilles,
βαίνων ἴσα	marchant *d'un pas* égal
Πυθοκλεῖ,	à *celui de* Pythoclès,
φυσῶν τὰς γνάθους,	enflant les joues, [temps
οὗτος ὑμῖν ἤδη	lui *qui est* chez vous depuis-long-
εἷς τῶν ξένων καὶ φίλων	un des hôtes et des amis
Φιλίππου, τῶν βουλομένων	de Philippe, *un* de ceux qui veulent
ἀπαλλαγῆναι τοῦ δήμου,	se débarrasser de la démocratie,
καὶ ἡγουμένων πράγματα	et qui considèrent les choses
τὰ καθεστηκότα	établies (la constitution athénienne)
κλύδωνα καὶ μανίαν,	*comme* agitation-de-la-mer et folie,
ὁ τεως ἔτι	lui, jusqu'à-ces-temps
προσκυνῶν τὴν Θόλον.	se prosternant devant la Tholos !

Βούλομαι τοίνυν ὑμῖν ἐπὶ κεφαλαίων ἐπανελθεῖν, ὃν τρόπον ὑμᾶς κατεπολιτεύσατο Φίλιππος, προσλαβὼν τούτους τοὺς θεοῖς ἐχθρούς. Πάνυ δ' ἄξιον ἐξετάσαι καὶ θεάσασθαι τὴν ἀπάτην ὅλην. Τὸ μὲν γὰρ ἀπ' ἀρχῆς τῆς εἰρήνης ἐπιθυμῶν, διαφορουμένης αὐτοῦ τῆς χώρας ὑπὸ τῶν λῃστῶν, καὶ κεκλεισμένων τῶν ἐμπορίων, ὥστε ἀνόνητον ἐκεῖνον ἁπάντων εἶναι τῶν ἀγαθῶν, τοὺς τὰ φιλάνθρωπα λέγοντας ἐκείνους ἀπέστειλεν ὑπὲρ αὐτοῦ, τὸν Νεοπτόλεμον, τὸν Ἀριστόδημον, τὸν Κτησιφῶντα. Ἐπειδὴ δὲ ἤλθομεν ὡς αὐτὸν ἡμεῖς οἱ πρέσβεις, ἐμισθώσατο μὲν εὐθέως τοῦτον, ὅπως συνερεῖ, καὶ συναγωνιεῖται τῷ μιαρῷ Φιλοκράτει, καὶ τῶν τὰ δίκαια βουλομένων πράττειν ἡμῶν περιέσται. Συνέγραψε δ' ἐπιστολὴν ὡς ὑμᾶς, ἧ μάλιστ' ἂν ᾤετο τῆς εἰρήνης τυχεῖν. Ἦν δ' οὐδὲν μᾶλλον μέγα αὐτῷ καθ' ὑμῶν οὐδ' οὕτω

Retraçons rapidement la tortueuse politique dans laquelle Philippe vous a enlacés, avec l'aide de ces ennemis du ciel : ce tissu de fourberies demande un examen d'ensemble. Depuis longtemps le prince soupirait après la paix : les côtes de la Macédoine étaient pillées par nos corsaires, et le blocus de ses ports le privait de tous les avantages du commerce. Il nous renvoya donc, en les chargeant de paroles bienveillantes, Néoptolème, Aristodème et Ctésiphon. Dès l'arrivée de notre députation, il prit Eschine à ses gages, pour servir d'auxiliaire à l'infâme Philocrate, et triompher de quelques collègues qui voulaient la justice. Avec son concours, il vous écrivit une lettre sur laquelle il comptait principalement pour obtenir la paix. Toutefois, il ne gagnait rien encore à agir ainsi contre vous, s'il ne rui-

Βούλομαι τοίνυν ἐπανελθεῖν
ὑμῖν ἐπὶ κεφαλαίων
ὃν τρόπον Φίλιππος
κατεπολιτεύσατο ὑμᾶς,
προσλαβὼν τούτους
τοὺς ἐχθροὺς θεοῖς.
Πάνυ δὲ ἄξιον
ἐξετάσαι καὶ θεάσασθαι
τὴν ἀπάτην ὅλην.
Τὸ μὲν γὰρ ἀπὸ ἀρχῆς
ἐπιθυμῶν τῆς εἰρήνης,
τῆς χώρας αὐτοῦ
διαφορουμένης ὑπὸ τῶν λῃστῶν,
καὶ τῶν ἐμπορίων
κεκλεισμένων,
ὥστε ἐκεῖνον εἶναι
ἀνόνητον
ἁπάντων τῶν ἀγαθῶν,
ἀπέστειλε
τὸν Νεοπτόλεμον,
τὸν Ἀριστόδημον,
τὸν Κτησιφῶντα,
ἐκείνους τοὺς λέγοντας
τὰ φιλάνθρωπα
ὑπὲρ αὑτοῦ.
Ἐπειδὴ δὲ ἡμεῖς
οἱ πρέσβεις
ἤλθομεν ὡς αὐτόν,
ἐμισθώσατο μὲν εὐθέως
τοῦτον, ὅπως συνερεῖ
καὶ συναγωνιεῖται
τῷ μιαρῷ Φιλοκράτει,
καὶ περιέσται ἡμῶν
τῶν βουλομένων
πράττειν τὰ δίκαια.
Συνέγραψε δὲ ὡς ὑμᾶς
ἐπιστολήν,
ἣ μάλιστα
ᾤετο ἂν τυχεῖν τῆς εἰρήνης.
Πρᾶξαι δὲ οὕτω κατὰ ὑμῶν

Or, je veux remonter
avec vous sommairement
sur la manière dont Philippe
trompa-par-sa-politique vous,
s'étant-adjoint ces *hommes*
ennemis des dieux.
Il est tout à fait convenable
d'examiner et de considérer
la tromperie dans-son-ensemble.
Dans le commencement,
désirant-vivement la paix,
le pays de lui
étant ravagé par les pirates,
et les ports *de Macédoine*
étant fermés (bloqués),
tellement qu'il était
ne-retirant-aucun-profit
de tous les avantages *du commerce*,
Philippe renvoya *ici*
Néoptolème,
Aristodème,
Ctésiphon,
ces *hommes* disant (chargés de dire)
des choses amicales
dans-l'intérêt-de lui-même.
Lorsque, ensuite, nous,
députés,
nous allâmes près de lui,
il prit-à-gages tout-de-suite
cet *Eschine*, afin qu'il parlât-avec
et qu'il luttât-avec
l'infâme Philocrate,
et qu'il l'emportât sur nous,
qui voulions
faire les choses justes.
Et il écrivit-avec *lui* à vous
une lettre,
par laquelle principalement
il pensait pouvoir obtenir la paix.
Mais agir ainsi contre vous

πρᾶξαι, εἰ μὴ Φωκέας ἀπολῇ. Τοῦτο δ' οὐκ ἦν εὔπορον. Συνῆκτο γὰρ αὐτῷ τὰ πράγματα, ὥσπερ ἐκ τύχης, εἰς καιρὸν τοιοῦτον, ὥστε ἢ μηδέν, ὧν ἠβούλετο, εἶναι διαπράξασθαι, ἢ ἀνάγκην εἶναι ψεύσασθαι καὶ ἐπιορκῆσαι, καὶ μάρτυρας τῆς αὐτοῦ κακίας ἅπαντας Ἕλληνας καὶ Βαρβάρους ποιήσασθαι. Εἰ μὲν γὰρ προσδέξαιτο Φωκέας συμμάχους, καὶ μεθ' ὑμῶν τοὺς ὅρκους αὐτοῖς ἀποδοίη, τοὺς πρὸς Θετταλοὺς καὶ Θηβαίους ὅρκους παραβαίνειν εὐθὺς ἀναγκαῖον ἦν· ὧν τοῖς μέν, τὴν Βοιωτίαν συνεξαιρήσειν ὀμωμόκει, τοῖς δέ, τὴν πυλαίαν συγκαταστήσειν. Εἰ δὲ μὴ προσδέχοιτο, ὥσπερ οὐ προσίετο, οὐκ ἐάσειν ὑμᾶς αὐτὸν παρελθεῖν ἡγεῖτο, ἀλλὰ βοηθήσειν εἰς Πύλας. Ὅπερ, εἰ μὴ παρεκρούσθητ', ἐποιήσατ' ἄν. Εἰ δὲ τοῦτο γένοιτο, οὐκ

nait la Phocide; et cela n'était pas facile. La fortune, en effet, l'avait réduit à l'alternative ou de ne pouvoir exécuter un seul de ses projets, ou de manquer à ses engagements, de se parjurer, et de rendre tous les Hellènes et tous les Barbares témoins de sa perfidie. Recevait-il la Phocide dans son alliance, l'admettait-il au même serment que vous? force était de violer la foi promise aux Thébains, qu'il avait juré de seconder dans la conquête de la Béotie, et aux Thessaliens, qu'il devait aider à rentrer dans la diète fédérale. L'excluait-il du traité, comme en effet il l'en a exclue? il pensait que vous alliez lui barrer le chemin, en jetant des troupes aux Thermopyles; et vous l'auriez fait, si l'on ne vous eût donné le change. Il

οὐδὲ ἦν οὐδὲν μᾶλλον μέγα
αὐτῷ,
εἰ μὴ ἀπολῇ Φωκέας.
Τοῦτο δὲ οὐκ ἦν εὔπορον.
Τὰ γὰρ πράγματα
συνῆκτο αὐτῷ,
ὥσπερ ἐκ τύχης,
εἰς καιρὸν τοιοῦτον,
ὥστε ἢ εἶναι
διαπράξασθαι μηδὲν
ὧν ἠβούλετο,
ἢ ἀνάγκην εἶναι
ψεύσασθαι καὶ ἐπιορκῆσαι,
καὶ ποιήσασθαι
ἅπαντας Ἕλληνας
καὶ Βαρβάρους μάρτυρας
τῆς κακίας αὐτοῦ.
Εἰ μὲν γὰρ προσδέξαιτο
Φωκέας συμμάχους,
καὶ ἀποδοίη
τοὺς ὅρκους αὐτοῖς
μετὰ ὑμῶν,
εὐθὺς ἦν ἀναγκαῖον
παραβαίνειν
τοὺς ὅρκους
τοὺς πρὸς Θετταλοὺς
καὶ Θηβαίους·
ὧν τοῖς μὲν ὀμωμόκει
συνεξαιρήσειν τὴν Βοιωτίαν,
τοῖς δὲ συγκαταστήσειν
τὴν πυλαίαν.
Εἰ δὲ
μὴ προσδέχοιτο,
ὥσπερ οὐ προσίετο,
ἡγεῖτο
ὑμᾶς οὐκ ἐάσειν αὐτὸν
παρελθεῖν,
ἀλλὰ βοηθήσειν
εἰς Πύλας.
Ὅπερ ἐποιήσατε ἄν,

n'était en rien un plus grand *avan-*
pour lui, [*tage*
s'il ne détruisait les Phocidiens.
Or cela n'était pas aisé.
Car les affaires [lui,
avaient été poussées *par rapport* à
comme par la fortune,
à une crise telle,
que ou il ne *lui* était *possible*
d'exécuter rien
de ce qu'il voulait,
ou force était
de mentir et de se parjurer,
et de faire (rendre)
tous les Grecs
et les Barbares témoins
de la perfidie de lui-même.
Car, s'il admettait
les Phocidiens *pour* alliés,
et *s'*il déférait
les serments à eux
avec vous,
soudain il était inévitable
*qu'*il transgressât
les promesses-jurées
aux Thessaliens
et aux Thébains :
aux uns desquels il avait juré
de conquérir-avec *eux* la Béotie,
aux autres de rétablir-avec *eux*
le droit-d'être-représenté-aux-Am-
Si, au-contraire, phictyons.
il ne *les* admettait pas,
comme, *en effet*, il ne *les* admit point,
il estimait
que vous ne laisseriez pas lui
passer,
mais *que* vous enverriez-des-secours
aux Thermopyles.
Ce que vous auriez fait,

ἐνεῖναι παρελθεῖν ἐλογίζετο. Καὶ ταῦτα οὐ παρ' ἄλλων αὐτὸν ἔδει πυθέσθαι, ἀλλ' αὐτὸς ὑπῆρχε μάρτυς ἑαυτῷ τοῦ πράγματος. Ὅτε γὰρ τὸ πρῶτον Φωκέας ἐκράτησεν ὁ Φίλιππος, καὶ διέφθειρε τοὺς ξένους αὐτῶν, καὶ τὸν ἡγούμενον, καὶ στρατηγοῦντα Ὀνόμαρχον, τότε τῶν ὄντων ἀνθρώπων ἁπάντων οὐδενός, οὔτε Ἕλληνος, οὔτε Βαρβάρου, Φωκεῦσι βοηθήσαντος, πλὴν ὑμῶν, οὐχ ὅπως παρῆλθεν, ἢ διεπράξατο ὧν ἠβουλήθη τι παρελθών, ἀλλ' οὐδὲ προελθεῖν ἐγγὺς ἠδυνήθη. Ἤδει δὲ σαφῶς, οἶμαι, τοῦθ' ὅτι νῦν, ἡνίκα ἐστασιάζετο μὲν αὐτῷ τὰ τῶν Θετταλῶν, καὶ Φεραῖοι πρῶτον οὐ συνηκολούθουν, ἐκρατοῦντο δὲ Θηβαῖοι, καὶ μάχῃ ἥττηντο, καὶ τρόπαιον ἀπ' αὐτῶν εἵστήκει, οὐκ ἔνεστι

calculait que, dans ce cas, le passage lui serait invinciblement fermé; et, pour s'en convaincre, il lui suffisait de ses propres souvenirs. A sa première victoire sur les Phocidiens, victoire qui leur enleva leurs milices étrangères, et Onomarque, leur chef et leur général, seule, entre tous les peuples grecs et barbares, Athènes accourut à leur secours : et, loin d'aller plus avant, loin de consommer son entreprise, le vainqueur ne put même approcher des Thermopyles. Il comprenait donc nettement qu'au milieu de ses démêlés actuels avec la Thessalie, privé, pour la première fois, de l'appui des Phéréens, et voyant Thèbes essuyer une défaite entière qu'attestait un trophée,

εἰ μὴ παρεκρούσθητε.
Ἐλογίζετο δὲ
οὐκ ἐνεῖναι
παρελθεῖν,
εἰ τοῦτο γένοιτο.
Καὶ οὐκ ἔδει
αὐτὸν πυθέσθαι ταῦτα
παρὰ ἄλλων, ἀλλὰ αὐτὸς
ὑπῆρχεν ἑαυτῷ
μάρτυς τοῦ πράγματος.
Ὅτε γὰρ τὸ πρῶτον
ὁ Φίλιππος
ἐκράτησε Φωκέας,
καὶ διέφθειρε
τοὺς ξένους αὐτῶν,
καὶ Ὀνόμαρχον
τὸν ἡγούμενον
καὶ στρατηγοῦντα,
οὐδενὸς ἁπάντων ἀνθρώπων
τῶν ὄντων τότε,
οὔτε Ἕλληνος, οὔτε Βαρβάρου,
πλὴν ὑμῶν,
βοηθήσαντος Φωκεῦσιν,
οὐχ ὅπως παρῆλθεν,
ἢ διεπράξατό τι
ὧν ἠβουλήθη
παρελθών,
ἀλλὰ οὐδὲ ἠδυνήθη
προελθεῖν ἐγγύς.
Ἤδει δὲ σαφῶς,
οἶμαι, τοῦτο,
ὅτι νῦν,
ἡνίκα τὰ μὲν
τῶν Θετταλῶν
ἐστασιάζετο αὐτῷ,
καὶ Φεραῖοι
πρῶτον
οὐ συνηκολούθουν,
Θηβαῖοι δὲ ἐκρατοῦντο,
καὶ ἥττηντο μάχῃ,

si vous n'aviez été trompés.
Il réfléchissait
*qu'*il ne *lui* était-pas-possible
de passer,
si cela arrivait.
Et il n'était pas nécessaire
*qu'*il apprît ces choses
d'autres *que lui ;* mais lui
était à lui-même
témoin du fait.
En effet, lorsque pour la première [fois,
Philippe
eut vaincu les Phocidiens,
et eut détruit
les *milices* étrangères d'eux,
et Onomarque
le chef
et le général,
aucun de tous les *autres* hommes
qui existaient alors
ni Grec, ni Barbare,
excepté vous,
*n'*ayant secouru les Phocidiens,
bien loin qu'il franchît *les Thermo-*
ou exécutât quelqu'une [*pyles,*
des choses qu'il voulait
ayant franchi,
il ne put même
s'approcher près *de ce passage.*
Il savait clairement,
je pense, ceci,
savoir, que maintenant,
lorsque les *intérêts*
des Thessaliens
faisaient-scission-avec lui,
et *que* les Phéréens,
pour-la-première-fois,
ne *le* suivaient point,
que les Thébains étaient humiliés,
et étaient vaincus dans un combat,

παρελθεῖν, εἰ βοηθήσεθ' ὑμεῖς, οὐδ', ἂν ἐπιχειρῇ, τοῖς ὅπλοις γ' αἱρήσειν δυνήσεται, εἰ μή τις τέχνη προσγενήσεται. « Πῶς οὖν μήτε ψεύσομαι φανερῶς, μήτε ἐπιορκεῖν δόξας, πάνθ', ὅσα βούλομαι, διαπράξομαι; Πῶς; Οὕτως. Ἂν Ἀθηναίων τινὰς εὕρω τοὺς Ἀθηναίους ἐξαπατήσοντας· ταύτης γὰρ οὐκ ἔτ' ἐγὼ τῆς αἰσχύνης κληρονομῶ. » Ἐντεῦθεν οἱ μὲν παρ' ἐκείνου πρέσβεις προὔλεγον ὑμῖν, ὅτι Φωκέας οὐ προσδέχεται Φίλιππος συμμάχους. Οὗτοι δ' ἐκδεχόμενοι τοιαῦτα ἐδημηγόρουν· ὡς φανερῶς μὲν οὐχὶ καλῶς ἔχει τῷ Φιλίππῳ προσδέξασθαι τοὺς Φωκέας συμμάχους, διὰ τοὺς Θηβαίους καὶ τοὺς Θετταλούς· ἐὰν δὲ γέ-

il ne pouvait avancer si vous secouriez la Phocide, et que, sans le concours de la ruse, les tentatives de ses armes seraient toujours repoussées. « Comment donc, se dit-il, sans me déclarer imposteur et parjure, viendrai-je à bout de tous mes projets? Comment? le voici. J'achèterai quelques Athéniens qui se chargeront de tromper Athènes : car je ne veux pas de cette honte pour moi. » En conséquence, ses ambassadeurs vous prévenaient qu'il ne recevait pas les Phocidiens dans son alliance; et nos traîtres, prenant la parole après eux : « Évidemment Philippe ne peut avec honneur comprendre la Phocide dans le traité, par égard pour Thèbes et la Thessalie; mais,

καὶ τρόπαιον ἀπὸ αὐτῶν
εἱστήκει,
οὐκ ἔνεστι
παρελθεῖν,
εἰ ὑμεῖς βοηθήσετε,
οὐδὲ δυνήσεταί γε
αἱρήσειν τοῖς ὅπλοις,
ἂν ἐπιχειρῇ,
εἰ μή τις τέχνη
προσγενήσεται.
« Πῶς οὖν
μήτε ψεύσομαι φανερῶς,
μήτε δόξας
ἐπιορκεῖν,
διαπράξομαι
πάντα ὅσα βούλομαι;
Πῶς; Οὕτως.
Ἂν εὕρω
τινὰς Ἀθηναίων
ἐξαπατήσοντας
τοὺς Ἀθηναίους·
ἐγὼ γὰρ
οὐκ ἔτι κληρονομῶ
ταύτης τῆς αἰσχύνης. »
Ἐντεῦθεν
οἱ μὲν πρέσβεις
παρὰ ἐκείνου
προὔλεγον ὑμῖν
ὅτι Φίλιππος
οὐ προσδέχεται Φωκέας
συμμάχους.
Οὗτοι δὲ
ἐκδεχόμενοι
ἐδημηγόρουν τοιαῦτα·
ὡς φανερῶς μὲν
οὐχὶ ἔχει καλῶς τῷ Φιλίππῳ
προσδέξασθαι τοὺς Φωκέας
συμμάχους,
διὰ τοὺς Θηβαίους
καὶ τοὺς Θετταλούς·

et *qu'*un trophée d'eux (de leurs dépouilles)
s'était élevé,
il ne *lui* était-pas-possible
de franchir *le passage*,
si vous *y* envoyiez-des-secours,
et *qu'*il ne pourrait même
s'*en* emparer par les armes,
s'il *le* tentait,
à moins que quelque ruse
n'*y* fût-de-plus.
« Comment donc
ne mentirai-je point ouvertement,
et, ne paraissant pas (sans paraître)
me parjurer,
exécuterai-je
tout *ce* que je veux?
Comment? De cette manière-ci.
Si je trouve (en trouvant)
quelques-uns des Athéniens
qui tromperont
les Athéniens;
car moi,
je n'accepte-point-pour-ma-part
cette honte. »
En conséquence,
d'une-part les députés
venus de chez ce *prince*
annonçaient à vous
que Philippe
ne reçoit pas les Phocidiens
pour alliés.
D'autre-part, ces *hommes*,
leur succédant *à la tribune*,
disaient-au-peuple de telles choses :
qu'évidemment
il n'est pas bien à Philippe
d'accueillir les Phocidiens
pour alliés,
à cause des Thébains
et des Thessaliens;

νηται τῶν πραγμάτων κύριος, καὶ τῆς εἰρήνης τύχῃ, ἅπερ ἂν συνθέσθαι νῦν ἀξιώσαιμεν αὐτόν, ταῦτα ποιήσει τότε. Τὴν μὲν τοίνυν εἰρήνην, ταύταις ταῖς ἐλπίσι, καὶ ταῖς παρασκευαῖς, καὶ ταῖς ὑπαγωγαῖς, εὕρετο παρ' ὑμῶν ἄνευ Φωκέων. Τὴν δὲ βοήθειαν ἔδει μετὰ ταῦτα κωλῦσαι τὴν εἰς Πύλας, ἐφ' ἣν αἱ πεντήκοντα τριήρεις ὅμως[1] ἐφώρμουν, ἵν', εἰ πορεύοιτο Φίλιππος, κωλύοιθ' ὑμεῖς. Πῶς οὖν; τίς τέχνη πάλιν αὖ γενήσεται περὶ ταύτης; τοὺς χρόνους ὑμῶν ἀφελέσθαι, καὶ ἐπιστῆσαι τὰ πράγματα ἀγαγόντας ἄφνω, ἵνα, μηδ' ἂν βούλησθε, δυνήσησθε ἐξελθεῖν. Οὐκοῦν ταῦθ' οὗτοι πράξαντες φαίνονται· ἐγὼ δ', ὥσπερ ἀκηκόατ' ἤδη πολλάκις, οὐχὶ δυνηθεὶς προαπελθεῖν, ἀλλὰ καὶ μισθωσάμενος πλοῖον, κατακωλυθεὶς ἐκπλεῦσαι. Ἀλλὰ καὶ πι-

qu'il obtienne la paix et une haute influence : alors il fera ce que nous voudrions qu'il stipulât aujourd'hui. » Insidieuses promesses, perfides suggestions, qui ont acquis à Philippe la paix, à l'exclusion de la Phocide. Il fallait encore vous détourner d'envoyer des troupes au passage où stationnaient, malgré la paix, cinquante trirèmes athéniennes, pour l'arrêter, s'il tentait de le franchir. Comment s'y prendre? Quelle nouvelle ruse mettre en jeu? On vous dérobera les instants propices; on arrêtera soudain le mouvement commencé : par là, vous ne pourrez plus à votre gré vous mettre en campagne. Et telle fut visiblement la conduite des traîtres. Pour moi, je l'ai dit plus d'une fois, je ne pus prendre les devants; on retint même au port le vaisseau que j'avais frété. Il fallait encore que les Phocidiens

ἐὰν δὲ γένηται κύριος
τῶν πραγμάτων,
καὶ τύχῃ τῆς εἰρήνης,
τότε ποιήσει ταῦτα
ἅπερ ἂν ἀξιώσαιμεν
αὐτὸν συνθέσθαι νῦν.
Εὕρετο τοίνυν παρὰ ὑμῶν
τὴν μὲν εἰρήνην,
ἄνευ Φωκέων,
ταύταις ταῖς ἐλπίσι,
καὶ ταῖς παρασκευαῖς,
καὶ ταῖς ὑπαγωγαῖς.
Ἔδει δὲ μετὰ ταῦτα
κωλῦσαι τὴν βοήθειαν
τὴν εἰς Πύλας,
ἐπὶ ἣν
αἱ πεντήκοντα τριήρεις
ἐφώρμουν ὅμως,
ἵνα ὑμεῖς κωλύοιτε,
εἰ Φίλιππος πορεύοιτο.
Πῶς οὖν;
τις τέχνη
γενήσεται πάλιν αὖ
περὶ ταύτης;
ἀφελέσθαι ὑμῶν
τοὺς χρόνους,
καὶ ἐπιστῆσαι ἄφνω
ἀγαγόντας τὰ πράγματα,
ἵνα μηδὲ δυνήσησθε
ἐξελθεῖν,
ἂν βούλησθε.
Οὐκοῦν οὗτοι
φαίνονται
πράξαντες ταῦτα·
ἐγὼ δέ, ὥςπερ ἀκηκόατε
ἤδη πολλάκις,
οὐχὶ δυνηθεὶς προαπελθεῖν,
ἀλλὰ καὶ
μισθωσάμενος πλοῖον,
κατακωλυθεὶς ἐκπλεῦσαι.

mais *que*, s'il devient maître
des événements,
et *s'*il obtient la paix,
alors il fera ces choses
que nous jugerions-convenable
*qu'*il stipulât maintenant.
Or *Philippe* obtint de vous
la paix,
à l'exclusion des Phocidiens,
par ces espérances-là,
et par ces intrigues,
et par ces séductions.
Mais il fallait, après cela,
empêcher l'envoi-de-secours
aux Thermopyles,
secours pour lesquels
les cinquante trirèmes
stationnaient malgré *la paix*,
afin que vous fissiez-opposition,
si Philippe tentait-de-passer.
Comment donc *faire ?*
quel artifice
naîtra encore une fois
au-sujet-de cet *envoi de secours ?*
il fallait enlever à vous
les instants *favorables*,
et arrêter tout-à-coup
vous poussant les affaires,
afin que vous ne pussiez pas
sortir *de l'Attique*,
si vous *le* vouliez.
Donc ces *hommes*
paraissent-évidemment
ayant fait cela;
moi, comme vous *l'*avez entendu
déjà plusieurs-fois,
j'étais ne pouvant point partir,
mais même (loin de là),
ayant frêté un bâtiment
j'étais empêché de m'embarquer.

στεῦσαι Φωκέας ἔδει Φιλίππῳ, καὶ ἑκόντας ἑαυτοὺς ἐνδοῦναι, ἵνα μηδεὶς χρόνος ἐγγένηται τοῖς πράγμασι, μηδ' ἐναντίον ἔλθῃ ψήφισμα παρ' ὑμῶν μηδέν. « Οὐκοῦν, ὡς μὲν οἱ Φωκεῖς σωθήσονται, παρὰ τῶν Ἀθηναίων πρέσβεων ἀπαγγελθήσεται. Ὥστε, καὶ εἴ τις ἐμοὶ διαπιστεῖ, τούτοις πιστεύσας, ἑαυτὸν ἐγχειριεῖ. Τοὺς δ' Ἀθηναίους αὐτοὺς μεταπεμψόμεθ' ἡμεῖς, ἵνα πάνθ', ὅσα ἂν βούλωνται, νομίσαντες ὑπάρχειν σφίσι, μηδὲν ἐναντίον ψηφίσωνται. Οὗτοι δὲ τοιαῦτα ἀπαγγελοῦσι παρ' ἡμῶν καὶ ὑποσχήσονται, ἐξ ὧν, μηδ' ἂν ὁτιοῦν ᾖ, κινηθήσονται.» Τοῦτον τὸν τρόπον, καὶ τοιαύταις τέχναις, ὑπὸ τούτων, τῶν κάκιστα ἀπολουμένων ἀνθρώπων, πάντα τὰ πράγματα ἀπώλετο.

Καὶ γάρ τοι παραχρῆμα, ἀντὶ μὲν τοῦ Θεσπιὰς καὶ Πλαταιὰς ἰδεῖν οἰκιζομένας, Ὀρχομενὸν καὶ Κορώνειαν ἠκούσατε

se livrassent eux-mêmes à la foi de Philippe, pour qu'il n'y eût pas un moment perdu, et qu'il ne fût porté chez nous aucun décret contraire à ses vues. « Je ferai dire, par les députés d'Athènes, que la Phocide sera sauvée : ainsi, les Phocidiens qui pourraient se défier de moi, sur la parole de ces gens-là, se jetteront dans mes bras. Pour les Athéniens, nous les appellerons sur les lieux : croyant que tout va se passer à leur gré, ce peuple ne nous entravera par aucune résolution; et nous concerterons si bien les rapports et les promesses de ses députés, qu'il ne bougera pas, quoi qu'il arrive. » Voilà les détours, voilà les artifices par lesquels tout a péri dans les mains de ces hommes, dignes eux-mêmes de périr cruellement!

Aussi, tout à coup, loin de voir Thespies et Piatée rétablies, vous

Ἀλλὰ καὶ ἔδει
Φωκέας
πιστεῦσαι Φιλίππῳ,
καὶ ἐνδοῦναι ἑαυτοὺς
ἑκόντας,
ἵνα μηδεὶς χρόνος
ἐγγένηται τοῖς πράγμασι,
μηδὲ μηδὲν ψήφισμα ἐναντίον
ἔλθῃ παρὰ ὑμῶν.
« Οὐκοῦν
ἀπαγγελθήσεται μὲν
παρὰ πρέσβεων τῶν Ἀθηναίων
ὡς οἱ Φωκεῖς σωθήσονται.
Ὥστε, καὶ εἴ τις
διαπιστεῖ ἐμοί,
πιστεύσας τούτοις,
ἐγχειριεῖ ἑαυτόν.
Ἡμεῖς δὲ μεταπεμψόμεθα
τοὺς Ἀθηναίους αὐτούς,
ἵνα, νομίσαντες
πάντα ὅσα ἂν βούλωνται
ὑπάρχειν σφίσι,
ψηφίσωνται μηδὲν
ἐναντίον.
Οὗτοι δὲ ἀπαγγελοῦσι
καὶ ὑποσχήσονται παρὰ ἡμῶν
τοιαῦτα, ἐξ ὧν
μηδὲ κινηθήσονται,
ἂν ὁτιοῦν ᾖ. »
Πάντα τὰ πράγματα
ἀπώλετο
τοῦτον τὸν τρόπον,
καὶ τοιαύταις τέχναις,
ὑπὸ τούτων ἀνθρώπων,
τῶν ἀπολουμένων
κάκιστα.

Καὶ γάρ τοι παραχρῆμα,
ἀντὶ μὲν τοῦ ἰδεῖν Θεσπιὰς
καὶ Πλαταιὰς οἰκιζομένας,
ἠκούσατε Ὀρχομενὸν

Mais il fallait aussi
que les Phocidiens
eussent-foi en Philippe,
et *qu'*ils livrassent eux-mêmes
volontairement,
afin qu'aucun délai
ne s'écoulât entre les affaires
ni *qu'*aucun décret contraire
ne vînt de vous.
« Donc
il sera annoncé
par les ambassadeurs athéniens
que les Phocidiens seront ménagés.
Tellement que, même si l'un *d'eux*
se méfie de moi,
croyant ces *ambassadeurs*, [me.
il se mettra-dans-*mes*-mains lui-mê-
Pour nous, nous inviterons-à-venir
les Athéniens eux-mêmes,
afin que, pensant
que tout ce qu'ils veulent
est-obtenu par eux-mêmes,
ils *ne* décrètent rien
de contraire *à nos vues*.
Et ces *gens-là* rapporteront
et promettront de-la-part-de nous
des choses telles, par lesquelles
ils ne remueront point, [rive). »
si quoi que ce soit est (quoi qu'il ar-
Toutes les affaires
ont péri
de cette manière
et par de tels artifices,
par ces hommes,
qui périront (dignes de périr)
très-cruellement.

En conséquence, tout-à-coup,
au-lieu-de voir Thespies
et Platée rebâties,
vous apprîtes *qu'*Orchomène

ἐξηνδραποδισμένας· ἀντὶ δὲ τοῦ τὰς Θήβας ταπεινὰς γενέσθαι; καὶ περιαιρεθῆναι τὴν ὕβριν καὶ τὸ φρόνημα αὐτῶν·, τὰ τῶν συμμάχων τῶν ὑμετέρων Φωκέων τείχη κατεσκάπτετο. Θηβαῖοι δ' ἦσαν οἱ κατασκάπτοντες, οἱ διοικισθέντες ὑπ' Αἰσχίνου τῷ λόγῳ. Ἀντὶ δὲ τοῦ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ἡμῖν παραδοθῆναι, ὁρμητήρια ἐφ' ἡμᾶς ἐν Εὐβοίᾳ Φίλιππος προκατασκευάζεται, καὶ Γεραιστῷ[2] καὶ Μεγάροις ἐπιβουλεύων διατελεῖ. Ἀντὶ δὲ τοῦ τὸν Ὠρωπὸν ὑμῖν ἀποδοθῆναι, περὶ Δρύμου καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ' ὅπλων ἐξερχόμεθα· ὅ, τέως ἦσαν Φωκεῖς σῶοι, οὐδὲ πώποτ' ἐποιήσαμεν. Ἀντὶ δὲ τοῦ τὰ πάτρια ἐν τῷ ἱερῷ κατασταθῆναι, καὶ τὰ χρήματα εἰσπραχθῆναι τῷ θεῷ, οἱ μὲν ὄντες Ἀμφικτύονες φεύγουσι καὶ ἐξελήλαν-

apprîtes qu'Orchomène et Coronée étaient réduites en servitude. Loin que Thèbes fût humiliée, et son insolent orgueil abattu, les remparts des Phocidiens, ces alliés d'Athènes, avaient été détruits, et détruits par ces mêmes Thébains dont les discours d'Eschine dispersaient la population. Loin que l'Eubée nous fût livrée en dédommagement d'Amphipolis, Philippe élève sur ses côtes de nouveaux forts contre l'Attique, et ne cesse d'entreprendre sourdement sur Géræstos et sur Mégare. Loin qu'Oropos nous soit rendue, nous prenons les armes pour défendre Drymos et le territoire de Panacte; ce que nous ne fîmes jamais, tant que les Phocidiens ont subsisté. Loin qu'on maintienne dans le temple de Delphes les antiques usages, et qu'on exige la restitution du trésor sacré, les vrais Amphictyons émigrent, chassés d'un sol où il n'est pas resté pierre sur pierre; des

καὶ Κορώνειαν
ἐξηνδραποδισμένας·
ἀντὶ δὲ τοῦ τὰς Θήβας
γενέσθαι ταπεινάς,
καὶ τὴν ὕβριν
καὶ τὸ φρόνημα αὐτῶν
περιαιρεθῆναι,
τὰ τείχη Φωκέων,
τῶν συμμάχων τῶν ὑμετέρων,
κατεσκάπτετο·
Θηβαῖοι δέ,
οἱ διοικισθέντες
ὑπὸ Αἰσχίνου τῷ λόγῳ,
ἦσαν οἱ κατασκάπτοντες.
Ἀντὶ δὲ τοῦ τὴν Εὔβοιαν
παραδοθῆναι ἡμῖν
ἀντὶ Ἀμφιπόλεως,
Φίλιππος
προκατασκευάζεται
ὁρμητήρια ἐπὶ ἡμᾶς
ἐν Εὐβοίᾳ, καὶ διατελεῖ
ἐπιβουλεύων
Γεραιστῷ καὶ Μεγάροις.
Ἀντὶ δὲ τοῦ τὸν Ὠρωπὸν
ἀποδοθῆναι ὑμῖν,
ἐξερχόμεθα μετὰ ὅπλων
περὶ Δρύμου
καὶ τῆς χώρας
πρὸς Πανάκτῳ·
ὃ οὐδὲ πώποτε
ἐποιήσαμεν,
τέως Φωκεῖς
ἦσαν σῶοι.
Ἀντὶ δὲ τοῦ τὰ πάτρια
κατασταθῆναι
ἐν τῷ ἱερῷ,
καὶ τὰ χρήματα
εἰσπραχθῆναι τῷ θεῷ,
οἱ μὲν ὄντες Ἀμφικτύονες
φεύγουσι καὶ ἐξελήλανται,

et Coronée
étant (étaient) réduites-en-servitude;
au-lieu-que Thèbes
devenir (devînt) humiliée,
et *que* l'arrogance
et l'orgueil d'elle
être (fussent) abattus,
les remparts des Phocidiens,
de vos alliés,
étaient rasés;
les Thébains, au-contraire,
expulsés-de-leurs-maisons
par Eschine en paroles, [*parts.*
étaient ceux qui rasaient *ces rem-*
Au-lieu-que l'Eubée
être (fût) livrée à nous
en-dédommagement d'Amphipolis,
Philippe
prépare-sourdement
des points-d'attaque contre nous
en Eubée, et il continue [dre
cherchant (de chercher)-à-surpren-
Geræstos et Mégare.
Au-lieu-que *la ville d'*Oropos
être (fût) rendue à nous,
nous sortons en armes
concernant (pour défendre) Drymos
et le territoire
près de Panacte:
chose que jamais
nous ne fîmes
tant-que les Phocidiens
furent sauvés.
Au-lieu-que les *droits* héréditaires
être (fussent) rétablis
dans le temple *de Delphes*,
et *que* les richesses
être (fussent) restituées au dieu,
ceux qui étaient Amphictyons
émigrent et ont été expulsés,

ται, καὶ ἀνάστατος αὐτῶν ἡ χώρα γέγονεν· οἱ δ' οὐδὲ πωποτε ἐν τῷ πρόσθεν χρόνῳ γενόμενοι, Μακεδόνες καὶ Βάρβαροι, νῦν Ἀμφικτύονες εἶναι βιάζονται. Ἐὰν δέ τις περὶ τῶν ἱερῶν χρημάτων μνησθῇ, καταχρημνίζεται[1]. Ἡ πόλις δὲ τὴν προμαντείαν ἀφῄρηται, καὶ γέγονε τὰ πράγματα πάντα ὥσπερ αἴνιγμα τῇ πόλει. Ὁ μὲν οὐδὲν ἔψευσται, καὶ πάνθ', ὅσα ἠβουλήθη, διαπέπρακται· ὑμεῖς δ', ἅπερ εὔξαισθ' ἂν ἐλπίσαντες, τἀναντία τούτων ἑωράκατε γιγνόμενα. Καὶ δοκεῖτε μὲν εἰρήνην ἄγειν, πεπόνθατε δὲ δεινότερα, ἢ πολεμοῦντες. Οὗτοι δὲ χρήματα ἔχουσιν ἐπὶ τούτοις, καὶ μέχρι τῆς τήμερον ἡμέρας δίκην οὐ δεδώκασιν.

Ὅτι δὲ ταῦθ' ἁπλῶς δεδωροδόκηνται, καὶ τιμὴν ἔχουσιν ἁπάντων τούτων, οὗτοι, πολλαχόθεν μὲν ἔγωγ' οἶμαι δῆλον

Macédoniens, Barbares à qui ce titre n'appartint jamais, l'ont pris avec leur épée; quiconque parle de rendre au dieu ses richesses périt comme sacrilége; Athènes est dépouillée du privilége de consulter l'oracle la première, et tous les événements sont pour elle autant d'énigmes. Pour Philippe, il a sauvé sa parole, et obtenu tout ce qu'il voulait; et vous, qui espériez tout ce qu'on peut souhaiter, vous avez vu arriver tout le contraire. Sous les apparences de la paix, vous souffrez plus que pendant la guerre; les coupables ont reçu de l'or pour vous tromper, et leurs crimes sont encore impunis.

Que ces crimes soient le résultat de leur seule cupidité, que le salaire de tant de trahisons soit dans leurs mains, c'est là un fait

καὶ ἡ χώρα αὐτῶν
γέγονεν ἀνάστατος·
οἱ δὲ οὐδὲ πώποτε
γενόμενοι
ἐν χρόνῳ τῷ πρόσθεν,
Μακεδόνες καὶ Βάρβαροι,
βιάζονται
νῦν
εἶναι Ἀμφικτύονες.
Ἐὰν δέ τις μνησθῇ
περὶ χρημάτων τῶν ἱερῶν,
κατακρημνίζεται.
Ἡ πόλις δὲ ἀφῄρηται
τὴν προμαντείαν,
καὶ πάντα τὰ πράγματα
γέγονεν ὥσπερ αἴνιγμα
τῇ πόλει.
Ὁ μὲν ἔψευσται οὐδέν,
καὶ διαπέπρακται
πάντα ὅσα ἠβουλήθη·
ὑμεῖς δὲ
ἑωράκατε γιγνόμενα
τὰ ἐναντία τούτων ἅπερ
εὔξαισθε ἂν ἐλπίσαντες.
Καὶ δοκεῖτε μὲν
ἄγειν εἰρήνην,
πεπόνθατε δὲ
δεινότερα
ἢ πολεμοῦντες.
Οὗτοι δὲ ἔχουσι χρήματα
ἐπὶ τούτοις,
καὶ οὐ δεδώκασι δίκην
μέχρι ἡμέρας τῆς τήμερον.
Ἔγωγε δὲ οἶμαι
εἶναι δῆλον ὑμῖν
πολλαχόθεν μὲν
πάλαι
ὅτι οὗτοι
δεδωροδόκηνται
ταῦτα ἁπλῶς,

et la contrée d'eux
est devenue bouleversée ;
et ceux qui jamais
n'avaient été *Amphictyons*
dans le temps d'auparavant,
des Macédoniens et des Barbares,
parviennent-par-la-violence
maintenant
à être Amphictyons.
Et, si quelqu'un rappelle [phes),
les richesses sacrées (le pillage de Del-
il est précipité *comme un criminel.*
Et la République a été privée
du droit-de-consulter-l'oracle-la-pre-
et toutes les affaires [mière,
sont devenues comme des énigmes
pour la République,
Celui-ci (Philippe) n'a menti en rien,
et il a exécuté
tout *ce* qu'il voulait ;
vous, au-contraire,
vous avez vu arrivant (arriver)
le contraire de ce que
vous pouviez demander *l'*espérant.
Et vous paraissez, il-est-vrai,
garder la paix (être en paix),
mais vous souffrez *des maux*
plus graves
que faisant-la-guerre.
Ces *hommes*-ci ont des richesses
pour ces *faits*, [nis)
et ils n'ont pas donné justice (été pu-
jusqu'au jour d'aujourd'hui.
Moi, je crois
*qu'*il est évident pour vous
de-beaucoup-de-manières
depuis-longtemps
que ces hommes
ont reçu-des-présents
pour ces *faits* généralement,

ὑμῖν εἶναι πάλαι· καὶ δέδοικα, μὴ τοὐναντίον, οὗ βούλομαι, ποιήσω, σφόδρα ἀκριβῶς δεικνύναι πειρώμενος, διενοχλῶ πάλαι τοῦτ' αὐτοὺς ὑμᾶς εἰδότας· ὅμως δ' οὖν ἔτι καὶ τόδ' ἀκούσατέ μου. Ἔστιν ὁντιν' ὑμεῖς, ὦ ἄνδρες δικασταί, τῶν πρέσβεων, ὧν ἔπεμψε Φίλιππος, χαλκοῦν στήσαιτ' ἂν ἐν ἀγορᾷ; Τί δέ; δοίητ' ἂν ἐν Πρυτανείῳ σίτησιν, ἢ ἄλλην τινὰ δωρεάν, αἷς τιμᾶτε τοὺς εὐεργέτας; ἐγὼ μὲν οὐκ οἶομαι. Διὰ τί; οὔτε γὰρ ὑμεῖς γε ἀχάριστοί ἐστε, οὔτ' ἄδικοι ἄνθρωποι, οὔτε κακοί. Ἀλλ' ὅτι πάνθ' ὑπὲρ Φιλίππου καὶ οὐδοτιοῦν ὑπὲρ ὑμῶν ἔπραξαν, εἴποιτ' ἄν· καὶ ἀληθῆ καὶ δίκαι' ἂν εἴποιτε. Εἶτ' οἴεσθε ὑμᾶς μὲν οὕτω γιγνώσκειν, τὸν δὲ Φίλιππον οὐχ οὕτως; ἀλλὰ τούτοις διδόναι τοσαύτας καὶ τηλικαύτας δωρεάς, διότι καλῶς καὶ δικαίως ὑπὲρ ὑμῶν ἐπρέσβευσαν; οὐκ ἔστι ταῦτα. Τὸν γὰρ

éclairé depuis longtemps sous toutes ses faces. Par la démonstration rigoureuse de ce que vous saviez déjà, je serai même allé, je le crains, contre mon but, et je vous aurai importunés. Encore un mot, ce-pendant. Des ambassadeurs de Philippe, en est-il un seul, ô juges, à qui vous élèveriez une statue sur la place publique? Que dis-je? lui assigneriez-vous une pension au Prytanée, ou telle autre récompense dont vous payez vos zélés serviteurs? non, sans doute. Et pourquoi? Êtes-vous donc injustes, durs ou ingrats? non; mais c'est, diriez-vous, qu'ils ont agi pour l'intérêt de Philippe, et nullement pour le nôtre : réponse juste et vraie. Eh bien! croyez-vous que le monarque pense différemment? croyez-vous qu'il ait été si magnifique avec nos députés pour reconnaître leurs bons et loyaux services envers Athènes?

καὶ ἔχουσι τιμὴν
τούτων ἁπάντων·
καὶ δέδοικα μὴ ποιλοω
τὸ ἐναντίον οὗ βούλομαι,
πειρώμενος σφόδρα
δεικνύναι ἀκριβῶς,
διενοχλῶ πάλαι
ὑμᾶς αὐτοὺς εἰδότας τοῦτο·
ὅμως δὲ οὖν ἀκούσατέ μου
ἔτι καὶ τόδε.
Ὦ ἄνδρες δικασταί,
ἔστι τῶν πρέσβεων
ὧν Φίλιππος ἔπεμψεν
ὁντινα ὑμεῖς στήσαιτε ἂν
χαλκοῦν
ἐν ἀγορᾷ;
Τί δέ;
δοίητε ἂν σίτησιν
ἐν Πρυτανείῳ,
ἢ τινὰ ἄλλην δωρεάν,
αἷς τιμᾶτε
τοὺς εὐεργέτας;
ἐγὼ μὲν οὐκ οἶομαι.
Διὰ τί; ὑμεῖς γε γὰρ
οὔτε ἐστε ἀχάριστοι,
οὔτε ἄνθρωποι ἄδικοι,
οὔτε κακοί.
Ἀλλά, εἴποιτε ἄν, ὅτι
ἔπραξαν πάντα ὑπὲρ Φιλίππου,
καὶ οὐδοτιοῦν ὑπὲρ ὑμῶν·
καὶ εἴποιτε ἂν ἀληθῆ
καὶ δίκαια.
Εἶτα οἴεσθε
ὑμᾶς μὲν γιγνώσκειν οὕτω,
τὸν δὲ Φίλιππον
οὐχ οὕτως;
ἀλλὰ διδόναι τούτοις
δωρεὰς τοσαύτας
καὶ τηλικαύτας,
διότι ἐπρέσβευσαν

et ont la récompense
de toutes ces *prévarications;*
et je crains que je n'aie fait
le contraire de *ce* que je veux,
en m'efforçant extrêmement
de démontrer exactement, [temps
et que je *n'*importune depuis long-
vous-mêmes qui savez cela :
cependant écoutez de moi
encore ceci.
O hommes juges!
est-il *un* des ambassadeurs
que Philippe envoya *vers vous*
que vous placeriez
en-airain (à qui vous élèveriez une
sur la place? [statue)
Que *dis-je?*
lui accorderiez-vous la pension
au Prytanée,
ou quelque autre récompense
de celles dont vous honorez
les bienfaiteurs *de la nation?*
moi, je ne *le* pense point.
Pourquoi? car vous certainement
vous n'êtes pas ingrats,
ni hommes injustes,
ni méchants.
Mais, diriez-vous, *c'est* que
ils firent tout pour Philippe,
et rien pour vous;
et vous diriez des choses vraies
et justes.
Eh bien! croyez-vous
que vous pensez ainsi,
et *que* Philippe
ne *pense* pas ainsi? [putés)
mais *qu'*il donne à ceux-ci (à vos dé-
récompenses si-nombreuses
et si-considérables
parce qu'ils remplirent-leur-mission

Ἡγήσιππον ὁρᾶτε[1], καὶ τοὺς μετ' αὐτοῦ πρέσβεις, ὅπως ἐδέξατο. Τὰ μὲν ἄλλα σιωπῶ. Ἀλλὰ Ξενοκλείδην τουτονὶ τὸν ποιητὴν ἐξεκήρυξεν, ὅτι αὐτοὺς ὑπεδέξατο, πολίτας ὄντας[2]. Τοῖς μὲν γὰρ ὑπὲρ ὑμῶν λέγουσι δικαίως, ὅσα ἂν φρονῶσι, τοῦτον τὸν τρόπον προσφέρεται· τοῖς δὲ πεπρακόσιν ἑαυτούς, ὡς τούτοις. Ταῦτ' οὖν μαρτύρων, ταῦτ' ἐλέγχων ἔτι δεῖται μειζόνων; ταῦτ' ἀφαιρήσεταί τις ὑμῶν;

Εἶπε τοίνυν μοί τις ἄρτι προσελθὼν πρὸ τοῦ δικαστηρίου, πρᾶγμα καινότατον πάντων, Χάρητος[3] κατηγορεῖν αὐτὸν παρασκευάσθαι, καὶ διὰ τούτου τοῦ τρόπου, καὶ διὰ τούτων τῶν λόγων, ἐξαπατήσειν ὑμᾶς ἐλπίζειν. Ἐγὼ δ' ὅτι μὲν πάντα τρόπον χρινόμενος Χάρης εὑρεθήσεται πιστῶς καὶ εὐνοϊκῶς, ὅσον

Cela n'est point. Voyez l'accueil qu'il a fait à Hégésippe et à ses collègues. Sans parler du reste, il a fait expulser à son de trompe notre poëte Xénoclide, pour avoir reçu chez lui ses concitoyens. Voilà comme il traite ceux qui soutiennent leur opinion et vos droits; ceux qui se vendent sont traités comme Eschine, comme Philocrate. Faut-il encore des témoins? faut-il de plus fortes preuves? arrachera-t-on cela de votre conviction?

Tout à l'heure, devant cette enceinte, quelqu'un, s'approchant de moi, m'apprenait la plus étrange nouvelle : Eschine a préparé une accusation contre Charès; et, par cette diversion oratoire, il espère vous donner le change. Athéniens, un procès ferait reconnaître que

καλῶς καὶ δικαίως
ὑπὲρ ὑμῶν;
ταῦτα οὐκ ἔστιν.
Ὁρᾶτε γὰρ
τὸν Ἡγήσιππον
καὶ τοὺς πρέσβεις
μετὰ αὐτοῦ,
ὅπως ἐδέξατο.
Σιωπῶ τὰ μὲν ἄλλα.
Ἀλλὰ ἐξεκήρυξε
Ξενοκλείδην τουτονὶ
τὸν ποιητήν,
ὅτι ὑπεδέξατο
αὐτούς, ὄντας πολίτας.
Προσφέρεται γὰρ
τοῦτον τὸν τρόπον
τοῖς μὲν λέγουσιν
ὑπὲρ ὑμῶν δικαίως
ὅσα ἂν φρονῶσι·
τοῖς δὲ
πεπρακόσιν ἑαυτούς,
ὡς τούτοις.
Ταῦτα οὖν δεῖται ἔτι
μαρτύρων;
ταῦτα ἐλέγχων μειζόνων;
τὶς
ἀφαιρήσεται ταῦτα ὑμῶν;

Τὶς τοίνυν προσελθὼν
ἄρτι πρὸ τοῦ δικαστηρίου
εἶπέ μοι
πρᾶγμα καινότατον πάντων,
αὐτὸν παρεσκευάσθαι
κατηγορεῖν Χάρητος,
καὶ ἐλπίζειν
ἐξαπατήσειν ὑμᾶς
διὰ τούτου τοῦ τρόπου,
καὶ διὰ τούτων τῶν λόγων.
Ἐγὼ δὲ
οὐ διϊσχυρίζομαι πάνυ
ὅτι Χάρης μὲν κρινόμενος

bien et avec-justice
pour vous?
Cela n'est point.
Voyez, en effet,
Hégésippe
et les députés
qui étaient avec lui,
comme il *les* accueillit!
Je tais les autres *détails*.
Mais il expulsa-par-la-voix-du-héraut
Xénoclide, ici présent,
le poëte,
parce qu'il avait reçu-chez-lui
eux, qui étaient *ses* concitoyens.
Car il se conduit
de cette manière
envers ceux qui disent
pour vous avec justice
ce qu'ils pensent;
d'autre-part, envers ceux
qui se sont vendus,
il se conduit comme envers ceux-ci.
Cela donc demande-t-il encore
des témoins? [fortes?
cela *demande-t-il* des preuves plus
quelqu'un
arrachera-t-il cela à vous?

Or, un *homme* s'étant approché
tout-à-l'heure devant le tribunal,
a dit à moi
la chose la plus étrange de toutes,
que lui (Eschine) s'est préparé
à accuser Charès,
et *qu'*il espère
devoir tromper vous
par ce détour,
et par ces discours.
Pour moi,
je ne soutiens pas tout-à-fait
que Charès, mis-en-jugement,

ἦν ἐπ' ἐκείνῳ, πράττων ὑπὲρ ὑμῶν, διὰ δὲ τοὺς ἐπὶ χρήμασι λυμαινομένους τοῖς πράγμασι, πολλῶν ὑστερῶν, οὐ πάνυ διϊσχυρίζομαι. Ἀλλ' ὑπερβολὴν ποιήσομαι. Ἔστω γὰρ πάντα τἀληθῆ λέξειν περὶ αὐτοῦ τουτονί. Καὶ οὕτω τοίνυν κομιδῆ γέλως ἐστὶ κατηγορεῖν ἐκείνου τουτονί. Ἐγὼ γὰρ Αἰσχίνην οὐδενὸς αἰτιῶμαι τῶν ἐν τῷ πολέμῳ πραχθέντων· τούτων γάρ εἰσιν οἱ στρατηγοὶ ὑπεύθυνοι· οὐδὲ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην· ἀλλ' ἄχρι τούτου πάντ' ἀφίημι. Τί οὖν λέγω, καὶ πόθεν ἄρχομαι κατηγορεῖν; τοῦ, ποιουμένης τῆς πόλεως εἰρήνην, Φιλοκράτει συνειπεῖν, ἀλλὰ μὴ τοῖς τὰ βέλτιστα γράφουσι, καὶ τοῦ δῶρα εἰληφέναι, τοῦ μετὰ ταῦτα ἐπὶ τῆς ὑστέρας πρεσβείας τοὺς χρόνους κατατρῖψαι, καὶ μηδὲν ὧν προσετάξαθ' ὑμεῖς, ποιῆσαι,

Charès vous a toujours servis avec tout le zèle, avec toute la fidélité dont il était capable, et que ses échecs furent l'ouvrage des hommes cupides qui ont ruiné vos affaires : mais je n'insiste point, je ferai même la concession la plus large. Tenons pour vrai tout ce qu'avancera l'accusé contre ce général : même alors, ce procès serait une pure dérision. Car je n'impute à Eschine ni aucun des événements de la guerre, dont les généraux seuls sont responsables, ni la paix faite par la République : oui, jusque-là, je le tiens quitte de tout. Quel est donc mon objet, et où commence mon accusation? Elle commence à l'appui qu'il a prêté à Philocrate en combattant les plus utiles propositions, lorsque Athènes négociait cette paix; aux présents qu'il a reçus; au temps précieux qu'il consuma ensuite dans la seconde ambassade. N'avoir exécuté aucun de vos ordres; avoir

εὑρεθήσεται πάντα τρόπον
πράττων ὑπὲρ ὑμῶν πιστῶς
καὶ εὐνοϊκῶς,
ὅσον ἦν ἐπὶ ἐκείνῳ,
ὑστερῶν δὲ πολλῶν
διὰ
τοὺς λυμαινομένους
τοῖς πράγμασιν
ἐπὶ χρήμασιν.
Ἀλλὰ ποιήσομαι ὑπερβολήν.
Ἔστω γὰρ τουτονὶ
λέξειν πάντα τὰ ἀληθῆ
περὶ αὐτοῦ.
Καὶ οὕτω τοίνυν
τουτονὶ κατηγορεῖν ἐκείνου
ἐστὶ κομιδῆ γέλως.
Ἐγὼ γὰρ αἰτιῶμαι Αἰσχίνην
οὐδενὸς τῶν πραχθέντων
ἐν τῷ πολέμῳ·
οἱ γὰρ στρατηγοὶ
εἰσὶν ὑπεύθυνοι τούτων·
οὐδὲ τοῦ τὴν πόλιν
ποιήσασθαι εἰρήνην·
ἀλλὰ ἄχρι τούτου
ἀφίημι πάντα.
Τί οὖν λέγω, καὶ πόθεν
ἄρχομαι κατηγορεῖν;
τοῦ,
τῆς πόλεως
ποιουμένης εἰρήνην,
συνειπεῖν
Φιλοκράτει,
ἀλλὰ μὴ τοῖς γράφουσι
τὰ βέλτιστα,
καὶ τοῦ εἰληφέναι δῶρα,
τοῦ κατατρῖψαι τοὺς χρόνους
μετὰ ταῦτα
ἐπὶ τῆς ὑστέρας πρεσβείας,
καὶ ποιῆσαι μηδὲν
ὧν ὑμεῖς προσετάξατε,

sera reconnu de toute manière
agissant pour vous fidèlement
et avec-bienveillance
autant qu'il était en lui,
et perdant beaucoup (et essuyant plu-
à-cause-de [sieurs échecs)
ceux qui ruinent
les affaires
pour de l'argent. [rée.
Mais je ferai une supposition-exagé-
Soit (j'accorde) *que* cet *homme* (Es-
dira toutes choses vraies [chine)
concernant celui-ci (Charès).
Or, même ainsi (en le supposant),
celui-là accuser celui-ci
est tout-à-fait rire (ridicule).
Car moi, je *n'*accuse Eschine
d aucune des choses faites
à la guerre;
les généraux, en effet,
sont responsables de celles-là;
ni de ce que la République
a fait la paix :
mais jusque-là
je *le* tiens-quitte *de* tout.
Que dis-je donc, et à-partir-d'où
commencé-je à accuser?
je commence à partir de ce *point:*
la République
négociant la paix,
avoir défendu-la-proposition
de Philocrate, [*traité*
et non de ceux qui inscrivaient *au*
les clauses les meilleures,
avoir, de plus, reçu des présents,
avoir consumé le temps
ensuite
dans la seconde ambassade,
et *n'*avoir exécuté rien
de ce que vous ordonnâtes,

τοῦ φενακίσαι τὴν πόλιν, καὶ παραστήσαντα ἐλπίδας, ὡς, ὅσα βουλόμεθ' ἡμεῖς, Φίλιππος πράξει, πάντ' ἀπολωλεκέναι, τοῦ μετὰ ταῦθ', ἑτέρων προλεγόντων φυλάττεσθαι τὸν τοσαῦτα ἠδικηκότα, τοῦτον ἐκείνῳ συνηγορεῖν. Ταῦτα κατηγορῶ. Ταῦτα μέμνησθε. Ἐπεί, εἰ δικαίαν εἰρήνην καὶ ἴσην ἑώρων, καὶ μηδὲν πεπρακότας ἀνθρώπους, μηδὲ ψευσαμένους ὕστερον, κἂν ἐπήνουν, καὶ στεφανοῦν ἐκέλευον· στρατηγὸς δ' εἴ τις ἠδίκηκεν ὑμᾶς, οὐχὶ κοινωνεῖ ταῖς νῦν εὐθύναις. Ποῖος γὰρ στρατηγὸς Ἅλον; τίς δὲ Φωκέας ἀπολώλεκε; τίς δὲ Δορίσκον; τίς δὲ Κερσοβλέπτην; τίς δὲ Ἱερὸν Ὄρος; τίς δὲ Πύλας; τίς δὲ πεποίηκεν ἄχρι τῆς Ἀττικῆς ὁδὸν διὰ συμμάχων καὶ φίλων εἶναι Φιλίππῳ; τίς δὲ Κορώνειαν; τίς δ' Ὀρχομενόν; τίς δ' Εὔβοιαν ἀλλοτρίαν; τίς Μέγαρα πρώην ὀλίγου; τίς Θηβαίους ἰσχυρούς; τούτων γὰρ

trompé la République; avoir tout perdu par l'espoir pompeusement étalé de la docilité de Philippe à nos désirs; s'être fait le panégyriste d'un prince coupable de tant d'injustices, et contre lequel d'autres citoyens armaient votre méfiance : voilà mon accusation, voilà vos souvenirs. Ah! si la paix eût été, à mes yeux, juste et favorable pour tous; si je n'avais vu ces hommes tout vendre, puis vous abuser par des mensonges, j'aurais moi-même demandé pour eux des éloges et des couronnes. Quant aux délits qu'a pu commettre un général, ils sont étrangers à la cause. Quel général, en effet, a perdu la Phocide, livré Halos, Doriskos, Kersobleptès, Mont-Sacré, les Thermopyles? Quel général a frayé à Philippe un chemin jusqu'à l'Attique à travers nos alliés et nos amis? Quel général a soumis à l'étranger Coronée, Orchomène, l'Eubée, et, peu s'en fallait dernièrement, Mégare?

τοῦ φενακίσαι τὴν πόλιν,
καὶ ἀπολωλεκέναι πάντα
παραστήσαντα ἐλπίδας
ὡς Φίλιππος πράξει
ὅσα ἡμεῖς βουλόμεθα,
τοῦ τοῦτον συνηγορεῖν ἐκείνῳ
μετὰ ταῦτα,
ἑτέρων προλεγόντων
φυλάττεσθαι
τὸν ἠδικηκότα τοσαῦτα.
Κατηγορῶ ταῦτα.
Μέμνησθε ταῦτα.
Ἔπειτ', εἰ ἑώρων εἰρήνην
δικαίαν καὶ ἴσην,
καὶ ἀνθρώπους
πεπρακότας μηδέν,
μηδὲ ψευσαμένους ὕστερον,
καὶ ἐπήνουν ἄν,
καὶ ἐκέλευον στεφανοῦν·
εἰ δέ τις στρατηγὸς
ἠδίκηκεν ὑμᾶς,
οὐχὶ κοινωνεῖ
εὐθύναις ταῖς νῦν.
Ποῖος γὰρ στρατηγὸς
ἀπολώλεκεν Ἅλον;
τίς δὲ Φωκέας;
τίς δὲ Δορίσκον;
τίς δὲ Κερσοβλέπτην;
τίς δὲ Ἱερὸν Ὄρος;
τίς δὲ Πύλας;
τίς δὲ πεποίηκεν
ὁδὸν εἶναι Φιλίππῳ
ἄχρι τῆς Ἀττικῆς
διὰ συμμάχων
καὶ φίλων;
τίς δὲ Κορώνειαν ἀλλοτρίαν;
τίς δὲ Ὀρχομενόν;
τίς δὲ Εὔβοιαν; τίς Μέγαρα
ὀλίγου πρώην;
τίς Θηβαίους ἰσχυρούς;

avoir fait-illusion à la République,
avoir perdu tout
en présentant l'espoir
que Philippe fera
tout-ce-que nous voulons,
avoir parlé-pour ce *prince*
après cela,
d'autres avertissant
de se-tenir-en-garde-contre [*tices.*
celui qui avait commis tant d'*injus-*
J'accuse cela.
Vous vous souvenez de cela. [paix
D'ailleurs, si je voyais un traité-de-
équitable et impartial,
et des hommes
n'ayant vendu rien,
ni n'ayant menti ensuite,
et je *les* louerais,
et je conseillerais de *les* couronner.
mais, si quelque général
a nui-criminellement à vous,
cela n'a-rien-de-commun [sent.
avec la reddition-de-comptes d'à-pré-
Car quel général
a perdu *la ville de* Halos?
qui *a perdu* les Phocidiens?
qui *a perdu* Doriskos?
qui *a perdu* Kersobleptès?
qui *a perdu* Mont-Sacré?
qui *a perdu* les Thermopyles?
qui a fait *en sorte que*
un chemin existât pour Philippe
jusqu'à l'Attique
à travers alliés
et amis? [soumise à l'étranger)?
qui *a rendu* Coronée étrangère (l'a
qui, Orchomène?
qui, l'Eubée? qui, Mégare,
peu-s'en-fallait, dernièrement?
qui *a rendu* les Thébains puissants?

οὐδὲν τοσούτων καὶ τηλικούτων ὄντων, διὰ τοὺς στρατηγοὺς ἀπώλετο. Οὐδ' ἐν τῇ εἰρήνῃ συγχωρηθὲν οὐδὲν πεισθέντων ὑμῶν ἔχει Φίλιππος[1], ἀλλὰ διὰ τούτους ἀπόλωλε, καὶ τὴν τούτων δωροδοκίαν.

Ἂν τοίνυν ταῦτα μὲν φεύγῃ, πλανᾷ δέ, καὶ πάντα μᾶλλον λέγῃ, ἐκείνως αὐτὸν δέχεσθε· « Οὐ στρατηγῷ δικάζομεν. Οὐ περὶ τούτων κρίνῃ. Μὴ λέγε, εἴ τις αἴτιός ἐστι καὶ ἄλλος τοῦ Φωκέων ὀλέθρου. Ἀλλ' ὡς οὐ σὺ αἴτιος εἶ, δεῖξον. Τί οὖν, εἴ τι Δημοσθένης ἠδίκει[2], νῦν λέγεις, ἀλλ' οὐχ, ὅτε τὰς εὐθύνας ἐδίδου, κατηγόρεις; δι' αὐτὸ γὰρ εἶ τοῦτο ἀπολωλέναι δίκαιος. Μὴ λέγε, ὡς καλὸν ἡ εἰρήνη, μηδὲ ὡς συμφέρον. Οὐδεὶς γὰρ αἰτιᾶταί σε τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην, ἀλλ' ὡς οὐκ αἰσχρὰ καὶ ἐπονείδιστος, καὶ πολλὰ ὕστερον ἐξηπατήμεθα, καὶ

Quel général a rendu Thèbes puissante? De tant de pertes, si graves, si nombreuses, pas une n'a été l'œuvre de vos chefs militaires, ou le résultat d'une cession faite à Philippe par les Athéniens persuadés dans un traité de paix : toutes ont leur cause dans la cupidité de vos ambassadeurs.

Si donc Eschine fuit, et veut vous égarer vers quelque autre objet, résistez-lui par ces mots : « Nous ne jugeons pas un général; ce n'est pas sur la conduite de la guerre que tu es accusé. Ne dis pas qu'un autre ait été complice de la ruine des Phocidiens, mais démontre que tu n'y as aucune part. Pourquoi, si Démosthène a prévariqué, n'en parler qu'aujourd'hui? Que ne l'accusais-tu quand il rendait ses comptes? Cela seul suffit pour te condamner. Ne viens pas nous vanter les douceurs et les avantages de la paix; on ne t'impute pas d'avoir engagé la République à la faire. Mais que cette paix ne soit pas une flétrissure et un outrage; que, depuis sa conclusion, toutes nos es-

οὐδὲν γὰρ τούτων
ὄντων τοσούτων
καὶ τηλικούτων
ἀπώλετο
διὰ τοὺς στρατηγούς.
Οὐδὲ Φίλιππος ἔχει οὐδὲν
συγχωρηθὲν ἐν τῇ εἰρήνῃ
ὑμῶν πεισθέντων·
ἀλλὰ ἀπόλωλε
διὰ τούτους,
καὶ τὴν δωροδοκίαν τούτων.
Ἂν τοίνυν φεύγῃ ταῦτα μέν,
πλανᾷ δέ,
καὶ λέγῃ
πάντα μᾶλλον,
δέχεσθε αὐτὸν ἐκείνως·
« Οὐ δικάζομεν στρατηγῷ·
οὐ κρίνῃ
περὶ τούτων.
Μὴ λέγε εἴ τις καὶ ἄλλος
ἐστὶν αἴτιος τοῦ ὀλέθρου
Φωκέων.
Ἀλλὰ δεῖξον
ὡς σὺ οὐκ εἶ αἴτιος.
Τί οὖν, εἰ Δημοσθένης
ἠδίκει τι,
λέγεις νῦν,
ἀλλὰ οὐ κατηγόρεις
ὅτε ἐδίδου τὰς εὐθύνας;
διὰ αὐτὸ γὰρ τοῦτο
εἶ δίκαιος ἀπολωλέναι.
Μὴ λέγε ὡς ἡ εἰρήνη
καλόν,
μηδὲ ὡς συμφέρον.
Οὐδεὶς γὰρ αἰτιᾶταί σε
τοῦ τὴν πόλιν ποιήσασθαι
εἰρήνην,
ἀλλὰ λέγε ταῦτα,
ὡς οὐκ αἰσχρὰ
καὶ ἐπονείδιστος,

car aucune de ces choses,
qui sont si-nombreuses
et si-importantes,
n'a été perdue
par les généraux.
Philippe ne possède non plus rien
de cédé pendant la paix,
vous étant persuadés (par la persua-
mais *tout* a péri [sion faite sur vous);
par ces *députés*,
et par la vénalité d'eux.
Si donc Eschine fuit ces *faits*,
s'il s'égare,
et dit
tout plutôt *que le fond de la cause*,
accueillez-le ainsi (par ces paroles) :
« Nous ne jugeons pas un général;
tu n'es pas mis-en-cause
pour ces *faits*.
Ne dis pas si quelque autre aussi
est cause de la ruine
des Phocidiens.
Mais démontre
que tu n'*en* es pas cause.
Pourquoi donc, si Démosthène
a prévariqué en quelque chose,
le dis-tu maintenant, [sais-tu
pourquoi, au contraire, ne *l'*accu-
lorsqu'il rendait ses comptes?
car, pour cela seul,
tu es digne d'être condamné.
Ne dis pas que le traité-de-paix
est une belle chose,
ni que *c'est* une chose utile.
Car personne ne reproche à toi
que la République ait fait
la paix,
mais dis ceci, *à savoir*,
que *cette paix* n'*est* pas honteuse
et reprochable,

πάντα ἀπώλετο, ταῦτα λέγε. Τούτων γὰρ ἡμῖν ἁπάντων αἴτιος σὺ δέδειξαι. » Καί· « Τί δὴ μέχρι νῦν τὸν τὰ τοιαῦτα πεποιηκότα ἐπαινεῖς; » Ἂν οὕτω φυλάττητε αὐτόν, οὐχ ἕξει τί λέγῃ, ἀλλὰ τηνάλλως ἐνταῦθα ἐπαρεῖ τὴν φωνήν, καὶ πεφωνασκηκὼς ἔσται.

Καίτοι καὶ περὶ τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη· πάνυ γὰρ μέγα καὶ ἐπὶ ταύτῃ φρονεῖν αὐτὸν ἀκούω, ὡς καθυποκρινούμενον ὑμᾶς. Ἐμοὶ δὲ δοκεῖτε ἀτοπώτατον ἁπάντων ἂν ποιῆσαι, εἰ ὅτε μὲν τὰ Θυέστου καὶ τῶν ἐπὶ Τροίᾳ κακὰ ἠγωνίζετο, ἐξεβάλλετε αὐτόν, καὶ ἐξεσυρίττετε ἐκ τῶν θεάτρων, καὶ μονονοὺ κατελεύετε οὕτως, ὥστε τελευτῶντα τοῦ τριταγωνιστεῖν ἀποστῆναι· ἐπειδὴ δέ, οὐκ ἐπὶ τῆς σκηνῆς, ἀλλ' ἐν τοῖς κοινοῖς καὶ μεγίστοις τῆς πόλεως πράγμασι μυρία εἴργασται κακά, τηνικαῦτα ὡς καλὸν φθεγγομένῳ προσέχοιτε. Μηδαμῶς. Μηδὲν

pérances n'aient pas été déçues, toutes nos possessions anéanties : c'est là ce que tu dois prouver, puisque c'est là ce qu'on a démontré contre toi. D'ailleurs, pourquoi, aujourd'hui encore, louer le prince, auteur de tant de maux? » Si vous le pressez ainsi, Athéniens, il ne saura que dire : vainement alors fera-t-il éclater sa voix, vainement l'aura-t-il exercée.

La voix! ce sujet demande aussi quelques mots. Tout fier de la sienne, Eschine, me dit-on, compte vous subjuguer par une illusion théâtrale. Quoi, Athéniens, celui qui, jouant les malheurs de Thyeste et les infortunes de Troie, fut, par vous, sifflé, chassé de la scène, presque lapidé, réduit enfin à renoncer aux troisièmes rôles; celui-là, quand il a causé tant de calamités, non comme tragédien, mais comme chargé des plus hauts intérêts de sa patrie, vous captiverait

καὶ ἐξηπατήμεθα
πολλὰ ὕστερον,
καὶ πάντα ἀπώλετο.
Σὺ γὰρ δέδειξαι
αἴτιος
ἁπάντων τούτων ἡμῖν. »
Καί·
« Τί δὴ μέχρι νῦν
ἐπαινεῖς τὸν πεποιηκότα
τὰ τοιαῦτα; »
Ἂν φυλάττητε αὐτὸν οὕτως,
οὐχ ἕξει τί λέγῃ,
ἀλλὰ τηνάλλως ἐνταῦθα
ἐπαρεῖ τὴν φωνήν,
καὶ ἔσται πεφωνασκηκώς.
Καίτοι ἀνάγκη ἴσως εἰπεῖν
καὶ περὶ τῆς φωνῆς·
ἀκούω γὰρ αὐτὸν
πάνυ μέγα φρονεῖν
καὶ ἐπὶ ταύτῃ,
ὡς καθυποκρινούμενον
ὑμᾶς.
Δοκεῖτε δὲ ἐμοὶ ἂν ποιῆσαι
ἀτοπώτατον ἁπάντων,
εἰ, ὅτε μὲν
τὰ κακὰ
Θυέστου καὶ τῶν ἐπὶ Τροίᾳ
ἠγωνίζετο,
ἐξεβάλλετε αὐτόν,
καὶ ἐξεσυρίττετε
ἐκ τῶν θεάτρων,
καὶ μονονοὺ κατελεύετε
οὕτως ὥστε τελευτῶντα
ἀποστῆναι
τοῦ τριταγωνιστεῖν·
ἐπειδὴ δὲ
εἴργασται μυρία κακὰ
ἐν τοῖς πράγμασι κοινοῖς
καὶ μεγίστοις τῆς πόλεως,
τηνικαῦτα προσέχοιτε

et *que* nous *n'*avons *pas* été trompés
beaucoup après *la conclusion*,
et *que* tout *n'*a *pas* été perdu.
Car tu es montré
comme cause
de tous ces *malheurs* pour nous. »
Et *dites encore :*
« Pourquoi donc jusqu'à présent
loues-tu celui qui a fait
de telles choses? »
Si vous serrez-de-près lui ainsi,
il n'aura quoi il dise (rien à répondre);
mais vainement en-ce-lieu
il élèvera la voix, [clamer.
et sera s'étant (se sera) exercé-à-dé-
Nécessité *est* aussi peut-être de dire
quelque chose même sur la voix :
car j'apprends *que* lui (Eschine)
s'enorgueillit beaucoup
aussi au-sujet d'elle (de la voix),
comme devant produire-une-illusion-
sur vous. [théâtrale
Or, vous semblez à moi devoir faire
la chose la plus absurde de toutes,
si, lorsque, d'une part,
les malheurs [Troie
de Thyeste et de ceux *qui étaient* à
étaient représentés *sur la scène*,
vous chassiez lui (Eschine),
et *l'*expulsiez-à-coups-de-sifflets
des théâtres,
et peu-s'en-faut *le* lapidiez
tellement que, finissant (enfin),
il quitta [les;
le *métier de* jouer-les-troisièmes-rô-
si, d'autre part, après que
il a fait dix mille maux
dans les affaires publiques
et les plus grandes de la cité, [*lui*,
alors vous écoutiez-attentivement

ὑμεῖς ἀβέλτερον πάθητε· ἀλλὰ λογίζεσθε, ὅτι δεῖ, κήρυκα μὲν ἂν δοκιμάζητε, εἰ εὔφωνος, σκοπεῖν[1]· πρεσβευτὴν δέ, καὶ τῶν κοινῶν ἀξιοῦντά τι πράττειν, δίκαιον, καὶ φρόνημα ἔχονθ', ὑπὲρ μὲν ὑμῶν μέγα, πρὸς δ' ὑμᾶς ἴσον. Ὥσπερ ἐγὼ Φίλιππον μὲν οὐκ ἐθαύμασα, τοὺς δ' αἰχμαλώτους θαυμάσας ἔσωσα, οὐδὲν δὲ ὑπεστειλάμην. Οὗτος δ' ἐκείνου μὲν προὐκυλινδεῖτο, καὶ τοὺς παιᾶνας ᾖδεν, ὑμῶν δ' ὑπερεώρα. Ἔτι τοίνυν ὅταν μὲν ἴδητε δεινότητα, ἢ εὐφωνίαν, ἤ τι τῶν ἄλλων τῶν τοιούτων ἀγαθῶν ἐπὶ χρηστοῦ καὶ φιλοτίμου γεγενημένον ἀνθρώπου, συγχαίρειν καὶ συνασκεῖν ἅπαντας δεῖ. Κοινὸν γὰρ ὑμῖν ἅπασι τοῖς ἄλλοις τοῦτο τὸ ἀγαθὸν γίγνεται. Ὅταν δ' ἐπὶ δωροδόκου καὶ πονηροῦ,

par les sons de sa voix! Ce serait, à mes yeux, la plus étrange inconséquence. Loin de vous d'aussi sottes impressions! Songez que c'est aux épreuves subies par les crieurs publics qu'il faut demander de forts poumons; mais que le choix d'un député, d'un citoyen qui veut devenir homme d'État, doit se décider par son intégrité, par la fierté de son âme lorsqu'il agit pour vous, par son amour de l'égalité au milieu de vous. Moi, par exemple, Philippe ne m'a pas ébloui; je n'ai eu des yeux que pour nos captifs, que j'ai rachetés; je n'ai jamais fléchi devant ce prince. Eschine, le front dans la poussière, chantait ses victoires; Eschine n'avait de dédains que pour Athènes. Sans doute, l'éloquence, la voix, ou quelque autre avantage de ce genre, joint à l'ambition du patriotisme et de la vertu, doit être pour vous tous une cause de joie, et un objet d'encouragements, c'est un bien que se partage un peuple entier. Mais ce talent se rencontre-t-il

ὡς φθεγγομένῳ καλόν.
Μηδαμῶς.
Ὑμεῖς πάθητε
μηδὲν ἀβέλτερον·
ἀλλὰ λογίζεσθε ὅτι δεῖ,
ἂν μὲν δοκιμάζητε κήρυκα,
σκοπεῖν εἰ εὔφωνος·
πρεσβευτὴν δέ,
καὶ ἀξιοῦντα πράττειν
τι τῶν κοινῶν,
δίκαιον,
καὶ ἔχοντα φρόνημα
μέγα μὲν ὑπὲρ ὑμῶν,
ἴσον δὲ πρὸς ὑμᾶς.
Ὥςπερ ἐγὼ
οὐκ ἐθαύμασα μὲν Φίλιππον,
θαυμάσας δὲ
τοὺς αἰχμαλώτους
ἔσωσα,
ὑπεστειλάμην δὲ οὐδέν.
Οὗτος δὲ
προὐκυλινδεῖτο μὲν ἐκείνου,
καὶ ᾖδε τοὺς παιᾶνας,
ὑπερεώρα δὲ ὑμῶν.
Ἔτι τοίνυν,
ὅταν μὲν ἴδητε
δεινότητα, ἢ εὐφωνίαν,
ἤ τι τῶν ἄλλων
τῶν τοιούτων ἀγαθῶν
γεγενημένον ἐπὶ ἀνθρώπου
χρηστοῦ καὶ φιλοτίμου,
δεῖ ἅπαντας
συγχαίρειν
καὶ συνασκεῖν.
Τοῦτο γὰρ τὸ ἀγαθὸν
γίγνεται κοινὸν
ὑμῖν τοῖς ἄλλοις ἅπασιν.
Ὅταν δὲ
ἐπὶ δωροδόκου
καὶ πονηροῦ,

comme faisant-retentir-sa-voix bien.
Nullement (qu'il n'en soit pas ainsi)!
Vous, n'éprouvez
aucune sotte *influence ;*
mais réfléchissez qu'il faut,
si vous éprouvez un crieur-public,
examiner s'*il est* d'une-forte-voix ;
mais *que* l'ambassadeur,
et celui qui demande à faire
quelqu'une des *affaires* publiques
doit être juste,
et ayant des sentiments
grands pour vous,
d'-égalité près de vous.
Ainsi, moi,
je ne fus pas ému par Philippe,
mais, étant ému
pour les captifs,
je *les* rachetai,
je ne fléchis nullement.
Cet *homme*, au contraire,
se roulait-devant ce *prince*,
et chantait les pæans,
et dédaignait vous.
De plus,
lorsque vous avez vu
éloquence, ou belle-voix,
ou quelqu'un d'autres
pareils avantages
se trouvant chez un homme
honnête et plein-d'émulation,
il faut *que* vous tous
vous vous réjouissiez-avec *lui*
et *que* vous *l'*aidiez-à-s'exercer.
Car cet avantage
devient commun
à vous autres tous.
Mais lorsque *vous avez vu cet avantage*
chez un *homme* vénal
et pervers,

καὶ παντὸς ἥττονος λήμματος, ἀποκλείειν, καὶ πικρῶς καὶ ἐναντίως ἀκούειν. Ὡς πονηρία δυνάμεως δόξαν εὑρημένη παρ' ὑμῶν, ἐπὶ τὴν πόλιν ἐστίν. Ὁρᾶτε δ', ὧν οὗτος εὐδοκιμεῖ, πηλίκα τῇ πόλει περιέστηκε πράγματα. Αἱ μὲν τοίνυν ἄλλαι δυνάμεις ἐπιεικῶς εἰσιν αὐτάρκεις. Ἡ δὲ τοῦ λέγειν, ἂν τὰ παρ' ὑμῶν, τῶν ἀκουόντων, ἀντιστῇ, διακόπτεται [1]. Οὕτως οὖν ἀκούετε τούτου, ὡς πονηροῦ, καὶ δωροδόκου, καὶ οὐδοτιοῦν ἐροῦντος ἀληθές.

Ὅτι δ' οὐ μόνον κατὰ τὰ ἄλλα, ἀλλὰ καὶ τὰ πρὸς αὐτὸν τὸν Φίλιππον πράγματα πανταχοῦ συμφέρει τουτονὶ ἐαλωκέναι, θεάσασθε. Εἴτε γὰρ ἥξει ποτὲ εἰς ἀνάγκην τῶν δικαίων τι ποιεῖν τῇ πόλει, τὸν τρόπον μεταθήσεται. Νῦν μὲν γὰρ προῄρηται τοὺς πολλοὺς ἐξαπατῶν ὀλίγους θεραπεύειν. Ἂν δὲ τούτους ἀπολω-

chez le méchant que la cupidité courbe devant un peu d'or ? repoussez l'orateur, ne l'écoutez qu'avec haine et colère. Devenu, par la parole, une puissance, le méchant, chez vous, est le fléau de l'État. Combien Athènes a souffert de ce qui fait l'orgueil d'Eschine ! Les autres talents se soutiennent assez d'eux-mêmes : mais, devant l'opposition des auditeurs, la parole perd son empire. N'écoutez donc l'accusé que comme un perfide, un mercenaire, un imposteur.

A tant de motifs réunis qui demandent sa condamnation, ajoutez notre position vis-à-vis de Philippe. Réduit à la nécessité de respecter nos droits, il changera de politique. Son système, jusqu'à ce jour, fut de courtiser quelques hommes pour tromper le peuple. Qu'il ap-

καὶ ἥττονος παντὸς λήμματος,
ἀποκλείειν,
καὶ ἀκούειν πικρῶς
καὶ ἐναντίως.
Ὡς πονηρία
εὑρημένη παρὰ ὑμῶν
δόξαν δυνάμεως,
ἐστὶν ἐπὶ τὴν πόλιν.
Ὁρᾶτε δὲ
πηλίκα πράγματα
περιέστηκε τῇ πόλει,
ὧν οὗτος
εὐδοκιμεῖ.
Αἱ μὲν τοίνυν ἄλλαι δυνάμεις
εἰσὶν αὐτάρκεις
ἐπιεικῶς.
Ἡ δὲ τοῦ λέγειν
διακόπτεται,
ἂν τὰ παρὰ ὑμῶν
τῶν ἀκουόντων ἀντιστῇ.
Ἀκούετε οὖν τούτου
οὕτως ὡς πονηροῦ,
καὶ δωροδόκου,
καὶ ἐροῦντος
οὐδοτιοῦν ἀληθές.
Θεάσασθε δὲ ὅτι συμφέρει
πανταχοῦ
τουτονὶ ἁλωκέναι,
οὐ μόνον κατὰ τὰ ἄλλα,
ἀλλὰ καὶ τὰ πράγματα
πρὸς τὸν Φίλιππον αὐτόν.
Εἴτε γὰρ ἥξει ποτὲ
εἰς ἀνάγκην
ποιεῖν τῇ πόλει
τι τῶν δικαίων·
μεταθήσεται τὸν τρόπον.
Νῦν μὲν γὰρ
προῄρηται
θεραπεύειν ὀλίγους
ἐξαπατῶν τοὺς πολλούς.

et subjugué par tout gain,
il faut lui fermer *la tribune*,
et *l'*écouter avec-haine
et avec-opposition.
C'est que la méchanceté
trouvant de-la-part de vous
la réputation de puissance,
est (tourne) contre la République.
Or, voyez
quels-grands embarras
ont assiégé la République
par les talents dont cet homme
tire-sa-renommée.
Les autres talents, il-est-vrai,
sont suffisant-à-eux-mêmes
vraisemblablement.
Mais le *talent* de parler
est brisé
si les *dispositions* de vous,
auditeurs, s'*y* opposent.
Écoutez donc cet *homme*
ainsi qu'un méchant,
et un *être* vénal,
et qui *ne* dira
absolument-rien de vrai.
Considérez aussi qu'il importe
de-toutes-manières
*qu'*il soit condamné, [*tifs*,
non-seulement pour les autres *mo-*
mais encore *pour* les affaires
concernant Philippe lui-même.
Car, ou il *en* viendra un jour
à la nécessité
de faire pour la République
quelqu'une des choses justes :
et alors il changera de conduite.
Car maintenant
il a pris-pour-système
de rendre-service à quelques-uns
en trompant la multitude.

λότας πύθηται, ὑμῖν τοῖς πολλοῖς, καὶ πάντων κυρίοις, τὰ λοιπὰ ποιεῖν βουλήσεται. Εἶτ' ἐπὶ τῆς αὐτῆς, ἥσπερ νῦν, ἐξουσίας καὶ ἀσελγείας μενεῖ, τοὺς ὁτιοῦν ἂν ἐκείνῳ ποιήσοντας ἀνῃρηκότες ἐκ τῆς πόλεως ἔσεσθε, ἂν τούτους ἀνέλητε· οἳ γὰρ οἰόμενοι δίκην ὑφέξειν, τοιαῦτ' ἔπραξαν, τούτους, ἐὰν τὰ παρ' ὑμῶν ἀφεθῇ αὐτοῖς, τί οἴεσθε ποιήσειν; ποῖον Εὐθυκράτη, ποῖον Λασθένη, τίν' οὐχ ὑπερβαλεῖσθαι προδότην; τίνα δ' οὐ πάντων τῶν ἄλλων χείρω πολίτην ὑπάρξειν, ὁρῶντα τοῖς μὲν ἅπαντα πεπρακόσι, χρήματα, δόξαν, ἀφορμήν, τὴν Φιλίππου ξενίαν περιοῦσαν· τοῖς δὲ δικαίους τε παρέχουσιν ἑαυτούς, καὶ προσανηλωκόσι χρήματα, πράγματα, ἀπεχθείας, φθόνον περιόντα παρ' ἐνίων; Μηδαμῶς. Οὔτε γὰρ πρὸς δόξαν, οὔτε πρὸς εὐσέβειαν, οὔτε πρὸς

prenne leur mort : c'est à vous, peuple redevenu souverain, qu'il voudra désormais complaire. Ou bien, s'il s'obstine dans son insolente audace, vous aurez, dans la personne de ces criminels, retranché de la République des gens toujours prêts à servir l'ennemi. Coupables de tels forfaits alors même qu'ils se voyaient menacés par les tribunaux, que ne feront-ils pas, s'ils en sortent absous? Où est l'Euthycrate, où est le Lasthène que le dernier de nos traîtres ne va pas surpasser? Quel citoyen ne rivalisera point de bassesse, quand il verra l'or, le crédit, et tout ce que l'amitié de Philippe peut prodiguer de biens, affluer vers ceux qui ont vendu la Grèce, tandis que des hommes intègres, qui ont sacrifié leur fortune, sont inquiétés, sont poursuivis par la haine et l'envie? Non, non; pour votre hon-

Ἂν δὲ πύθηται τούτους
ἀπολωλότας, βουλήσεται
ποιεῖν τὰ λοιπὰ
ὑμῖν τοῖς πολλοῖς,
καὶ κυρίοις πάντων.
Εἴτε μενεῖ ἐπὶ ἐξουσίας
καὶ ἀσελγείας τῆς αὐτῆς
ἥσπερ νῦν,
ἂν ἀνέλητε τούτους,
ἔσεσθε ἀνῃρηκότες
ἐκ τῆς πόλεως
τοὺς ποιήσοντας ἂν
ὁτιοῦν ἐκείνῳ.
Τί γὰρ οἴεσθε τούτους ποιήσειν,
ἐὰν τὰ παρὰ ὑμῶν
ἀφεθῇ αὐτοῖς,
οἳ, οἰόμενοι
ὑφέξειν δίκην,
ἔπραξαν τοιαῦτα;
τίνα προδότην
οὐχ ὑπερβαλεῖσθαι;
ποῖον Εὐθυκράτη,
ποῖον Λασθένη;
τίνα δὲ πολίτην
οὐχ ὑπάρξειν χείρω
πάντων τῶν ἄλλων,
ὁρῶντα χρήματα μέν,
δόξαν, ἀφορμήν,
τὴν ξενίαν Φιλίππου
περιοῦσαν
τοῖς πεπρακόσιν ἅπαντα·
πράγματα δέ,
ἀπεχθείας, φθόνον,
περιόντα παρὰ ἐνίων
τοῖς παρέχουσί τε ἑαυτοὺς
δικαίους,
καὶ προσαναλωκόσι χρήματα;
Μηδαμῶς.
Οὔτε γὰρ πρὸς δόξαν,
οὔτε πρὸς εὐσέβειαν,

Mais, s'il apprend *que* ceux-là
ayant (ont) péri, il voudra
faire le reste (agir désormais)
pour vous, multitude,
et maîtres de tout.
Ou bien il restera dans la licence
et *dans* l'insolence la même
où *il est* maintenant, [*mes*,
et alors, si vous retranchez ces *hom-*
vous serez ayant retranché
de la République
ceux qui feraient
quoi-que-ce-fût pour ce *prince*.
Car, que pensez-vous *qu'*ils feront,
si les *dispositions* de vous
sont relâchées pour eux,
ces hommes qui, croyant
*qu'*ils rendront compte,
firent *pourtant* de telles choses?
quel traître *pensez-vous ceux-là*
ne pas devoir surpasser?
quel Euthycrate (un Euthycrate),
quel (un) Lasthène?
quel citoyen *pensez-vous*
ne pas devoir devenir pire
que tous les autres,
en voyant, d'une part, richesses,
crédit, puissance,
titre-d'hôte de Philippe
abondant (abonder)
vers ceux qui ont vendu tout;
d'autre-part, embarras,
inimitiés, haine-jalouse,
affluant de quelques-uns
vers ceux qui se présentaient
comme justes, [argent?
et qui, en outre, dépensaient *leur*
Nullement.
Car, ni pour la gloire, [ment),
ni pour la pitié (la religion du ser-

ἀσφάλειαν, οὔτε πρὸς ἄλλο οὐδὲν ὑμῖν συμφέρει τοῦτον ἀφεῖναι, ἀλλὰ τιμωρησαμένους παράδειγμα ποιῆσαι πᾶσι, καὶ τοῖς πολίταις, καὶ τοῖς ἄλλοις Ἕλλησιν.

